Si fuerint tres magnitudines, & aliæ totidem, & binæ in eadem proportione, & si ex æquo prima fuerit maior quàm tertia, erit etiam quarta maior quàm sexta, & si æqualis, æqualis: & si minor, minor. Hoc est: Si fuerit proportio primæ magnitudinis ad secundam ea, quæ tertiæ ad quartam: fuerit verò etiam proportio secundæ ad quintam, quæ quartæ ad sextam, tum si fuerit prima maior quàm quinta, erit etiam tertia maior quàm sexta, &c.

Propositio 21. Theorema.

Si fuerint tres magnitudines, & aliæ totidem, binæ in eadem proportione, etiamsi fuerit confusa ipsarum proportio: tamen si ex æquo prima fuerit maior quàm tertia, erit etiam quarta maior quàm sexta: & si æqualis, æqualis, & si minor, minor:

Propositio 22. Theorema.

Si fuerint quotlibet magnitudines, & aliæ totidem binæ in eadem proportione, etiã ex æquo in eadem erunt proportione.

Propositio 23. Problema.

Si fuerint magnitudines tres, & aliæ totidem binæ in eadem proportione, etiamsi fuerit confusa illarum proportio: tamen ex æquo in eadem erunt proportione.

Πρότασις κδ΄. θεώρημα.

Ἐὰν πρῶτον πρὸς δεύτερον, τὸν αὐτὸν ἔχῃ λόγον, καὶ τρίτον πρὸς τέταρτον: ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον: καὶ ἕκτον πρὸς τέταρτον: καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον, τὸν αὐτὸν ἕξει λόγον. καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον.

Πρότασις κε΄. Θεώρημα.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν, μείζονά ἐστι.

Τέλος τοῦ πέμπτου στοιχείου

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ΕΚΤΟΝ.

ΟΡΟΙ.

Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν, καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς, ἀνάλογον.

Ἀντιπεπονθότα δὲ σχήματά ἐστιν, ὅταν ἑκα-

Propositio 24. Theorema.

Si magnitudo prima ad magnitudinem secundam, eam habuerit proportionem, quam tertia ad quartam, habuerit verò etiam quinta ad secundam eam proportionem: quam sexta ad quartam: tum coniuncta magnitudo prima cum quinta, eam habebit proportionē ad secundam, quam habet tertia cum sexta ad quartam.

Propositio 25. quinta.

Si quatuor magnitudines fuerint proportionales, earum maxima & minima reliquis duabus erunt maiores.

Finis libri quinti.

EVCLIDIS ELEMENTORUM Geometriæ liber sextus.

Definitiones.

Similes figuræ rectilineæ sunt, quæ æquales habent angulos ad vnum: & latera æquales angulos continentia æqualia.

Reciprocæ figuræ sunt, quando in vtraq; figura

τέρῳ τῶν σχημάτων, ἡγούμενοί τε καὶ ἑπόμενοι λόγοι ὦσιν.

Ἄκρον καὶ μέσον λόγον, εὐθεῖα τετμῆσθαι λέγεται, ὅταν ᾖ, ὡς ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα, οὕτως τὸ μεῖζον πρὸς τὸ ἔλασσον.

Ὕψος ἐστὶ παντὸς σχήματος, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν, κάθετος ἀγομένη.

Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες, ἐφ᾽ ἑαυτὰς πολλαπλασιασθεῖσαι, ποιῶσί τινας.

ΠΡΟΤΑΣΕΙΣ.

Πρότασις α. θεώρημα.

ΤΑ τρίγωνα, καὶ τὰ παραλληλόγραμμα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα, πρὸς ἄλληλά ἐστιν, ὡς αἱ βάσεις.

Πρότασις β. θεώρημα.

Ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα παράλληλος, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς. Καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα, παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν, παράλληλος.

figura sunt antecedentes, & consequentes rationis termini.

Secundum rationem extremam & mediã dicetur linea recta esse secta, quando sic se habet ratio, vt tota ad maius segmentum, sic maius segmentum ad minus.

Vniuscuiusq; figuræ altitudo dicitur linea recta perpendicularis, ducta à vertice ad basim vsq;.

Ratio ex rationibus dicetur composita esse, si rationum quantitates inter se multiplicatæ aliquas fecerint.

Propositiones.

Propositio 1. Theorema.

TRianguli, & parallelogramma, quæ sub eadem sunt altitudine, proportionem inter se habent, vt & ipsæ bases.

Propositio 2. Theorema.

Si ad trianguli alicuius latus, ducta fuerit quædam linea recta æquedistans, tum ea proportionaliter secabit trianguli latera. Et si trianguli latera fuerint proportionaliter secta: tum linea recta ad sectiones ducta ad reliquum trianguli latus, erit æquedistans.

Pro-

Πρότασις γ. Πρόβλημα.

Ἐὰν τριγώνου γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα τὴν γωνίαν, εὐθεῖα, τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως, τὸν αὐτὸν ἕξει λόγον, ταῖς λοιπαῖς, τοῦ τριγώνου πλευραῖς. Καὶ ἐὰν τὰ τῆς βάσεως τμήματα, τὸν αὐτὸν ἔχει λόγον, ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα, δίχα τέμνει τὴν τοῦ τριγώνου γωνίαν.

Πρότασις δ. Θεώρημα.

Τῶν ἰσογωνίων τριγώνων, ἀνάλογον εἰσὶν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας: καὶ ὁμόλογοι, αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι πλευραί.

Πρότασις ε. πρόβλημα.

Ἐὰν δύο τρίγωνα, τὰς πλευρὰς ἀνάλογον ἔχῃ: ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς, αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Πρότασις ς. Πρόβλημα.

Ἐὰν δύο τρίγωνα, μίαν γωνίαν, μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας, τὰς

πλευ-

Propositio 3. Theorema.

Si trianguli alicuius angulus fuerit dissectus in duas partes æquales: ipsaq́; recta secans angulum, ipsam etiam basin secet: tum segmenta basis eandẽ habebũt proportionem cum reliquis trianguli lateribus. Et si segmẽta basis eandem habuerint proportionem cũ reliquis trianguli lateribus: recta à vertice trianguli ad sectionem ducta: secat angulum trianguli in duas partes æquales.

Propositio 4. Theorema.

Trianguli qui æquales habent angulos: latera eorum quæ æquales continent angulos sunt proportionalia: latera æquales angulos subtendentia, sunt homologa.

Propositio 5. Theorema.

Si duo trianguli habuerint latera proportionalia, illi etiam æquianguli erunt, & anguli, quos latera homologa subtendũt, sunt æquales.

Propositio 6. Theorema.

Si alicuius trianguli vnus angulus fuerit æqualis vni angulo alterius trianguli: & la-

πλευρὰς ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ᾽ ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Πρότασις ζ. θεώρημα.

Εὰν δύο τρίγωνα, μίαν γωνίαν, μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἄλλας γωνίας, τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἤτοι ἐλάσσονα, ἢ μὴ ἐλάσσονα ὀρθῆς, ἰσογώνια ἔσται τὰ τρίγωνα, καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογον εἰσὶν αἱ πλευραί.

Πρότασις η. θεώρημα.

Εαν ἐν ὀρθογωνίῳ τριγώνῳ, ἀπὸ τῆς ὀρθῆς γωνίας, ἐπὶ τὴν βάσιν κάθετος ἀχθῆ, τὰ πρὸς τῇ καθέτῳ τρίγωνα, ὅμοιά ἐστιν τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

Πρότασις θ. πρόβλημα.

Τῆς δοθείσης εὐθείας, τὸ προσταχθὲν μέρος ἀφελεῖν.

Πρότασις ι. Πρόβλημα.

Τὴν δοθεῖσαν εὐθεῖαν ἄτμητον, τῇ δοθείσῃ εὐθείᾳ τετμημένῃ, ὁμοίως τεμεῖν.

Πρότα-

tera æquales illos angulos continentia ſint proportionalia: eiuſmodi trianguli æqualium ſunt angulorum, & angulos quos homologa latera ſubtendunt, habent æquales.

Propoſitio 7. Theorema.

Si duorum triangulorum angulus vnus vni angulo fuerit æqualis: & latera alios angulos continentia ſint ꝓportionalia: & alterũ ex reliquis angulis vel minorem vel non minorẽ angulo recto habuerint: iſti duo triãguli erunt æqualium angulorum, & angulos quos latera ꝓportionalia continẽt, habent æquales.

Propoſitio 8. Theorema.

Si in triangulo rectangulo, ab angulo recto, ad baſin ducta fuerit perpendicularis: tũ trianguli qui ad perpendicularem ſunt poſiti, ſunt ſimiles toti triãgulo, atq; etiã inter ſe.

Propoſitio 9. Problema.

Auferre ex data linea recta, eam partem, quæ auferenda præcipitur.

Propoſitio 10. Problema.

Datam lineam rectam non ſectam ſimiliter ſecare vt ſectam.

Πρότασις ια. πρόβλημα.

Δύο δοθεισῶν εὐθειῶν, τρίτην ἀνάλογον προσευρεῖν.

Πρότασις ιβ. Πρόβλημα.

Τριῶν δοθεισῶν εὐθειῶν, τετάρτην ἀνάλογον προσευρεῖν.

Πρότασις ιγ. Πρόβλημα.

Δύο δοθεισῶν εὐθειῶν, μέσην ἀνάλογον προσευρεῖν.

Πρότασις ιδ. Θεώρημα.

Τῶν ἴσων τε, καὶ μίαν μιᾷ ἴσην, ἐχόντων γωνίαν παραλληλογράμμων, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας. Καὶ ὧν παραλληλογράμμων, μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα.

Πρότασις ιε Θεώρημα.

Τῶν ἴσων, καὶ μίαν μιᾷ, ἴσην ἐχόντων γωνίαν, τριγώνων, ἀντιπεπόνθασιν αἱ πλευραὶ, αἱ περὶ τὰς ἴσας γωνίας. Καὶ ὧν τριγώνων μίαν μιᾷ, ἴσην ἐχόντων γωνίαν, ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα.

Πρότα-

Propositio 11. problema.

Duabus propositis lineis rectis tertiam proportionalem inuenire.

Propositio 12. Problema.

Tribus lineis rectis datis, quartam proportionalem inuenire.

Propositio 13. Problema.

Duabus datis lineis rectis mediam proportionalem inuenire.

Propositio 14. Theorema.

Parallelogrammorum æqualium, & habentium vnum angulum vni angulo æqualem latera æquales angulos continentia reciproca sunt. Et quorum parallelogrammorũ habentium vnum angulũ vni angulo æqualem, reciproca sunt ea latera, quæ æquales angulos continent, illa etiam sunt æqualia.

Propositio 15. Theorema.

Triangulorum æqualium, & habentium vnum angulum, vni angulo æqualem: latera æquales angulos continentia reciproca sunt. Et quorum triangulorum habentium vnum angulum vni angulo æqualem, reciproca sunt latera æquales angulos continentia, æquales etiam erunt illi trianguli.

Πρότασις ις. θεώρημα.

Εὰν τέσσαρες εὐθεῖαι, ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον, ἴσον ἐςὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ. Καὶ εἰ τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ, τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται.

Πρότασις ιζ. θεώρημα.

Εὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον, ἴσον ἐςὶ, τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ. Καὶ εἰ τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ, τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ, αἱ τρεῖς εὐθεῖαι ἀνάλογον ἔσονται.

Πρότασις ιη. πρόβλημα.

Απὸ τῆς δοθείσης εὐθείας, τῷ δοθέντι εὐθυγράμμῳ, ὅμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον ἀναγράψαι.

Πρότασις ιθ. Θεώρημα.

Τὰ ὅμοια τρίγωνα πρὸς ἄλληλα, ἐν διπλασίονι λόγῳ ἐςὶ, τῶν ὁμολόγων πλευρῶν.

Πρό-

Propositio 16. Theorema.

Si quatuor lineæ rectæ fuerint proportionales, rectangulum quod continetur duabus extremis, æquale est rectangulo, quod duabus medijs continetur. Et si rectangulum quod duabus extremis continetur, fuerit æquale rectangulo, quod continetur duabus medijs: quatuor istæ lineæ rectæ proportionales erũt.

Propositio 17. Theorema.

Si tres lineæ rectæ proportionales fuerint, rectangulum quod continetur duabus extremis: æquale est quadrato quod describitur à linea media. Et si rectangulum quod continetur duabus extremis, æquale est quadrato à media linea descripto, tres illæ rectæ proportionales erunt.

Propositio 18. Problema.

A data linea recta, dato rectilineo describere simile, & similiter positum rectilineum.

Propositio 19. Theorema.

Similes trianguli in dupla sunt ratione homologorum laterum.

Πρότασις κ. Θεώρημα.

Τὰ ὅμοια πολύγωνα, εἰς τὰ ὅμοια τρίγωνα διαιρεῖται, καὶ εἰς ἴσα τὸ πλῆθος, καὶ ὁμόλογα τοῖς ὅλοις, καὶ τὸ πολύγωνον, διπλασίονα λόγον ἔχει, ἤπερ ἡ ὁμόλογος πλευρὰ, πρὸς τὴν ὁμόλογον πλευράν.

Πρότασις κα. Θεώρημα.

Τὰ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια, καὶ ἀλλήλοις ἐστὶν ὅμοια.

Πρότασις κβ. Θεώρημα.

Εαν τέσσαρες εὐθεῖαι, ἀνάλογον ὦσιν, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα, ὅμοιά τε, καὶ ὁμοίως ἀναγεγραμμένα, ἀνάλογον ἔσται. Κἂν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα, ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα, ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι, ἀνάλογον ἔσονται.

Πρότασις κγ. Θεώρημα.

Τὰ ἰσογώνια παραλληλόγραμμα, πρὸς ἄλληλα λόγον ἔχει, τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Πρότασις κδ. Θεώρημα.

Παντὸς παραλληλογράμμου τὰ περὶ τὴν διά-

Propositio 20. Theorema.

Figuræ multorum angulorum diuiduntur in similes triangulos, & numero æquales, & homologos totis, & figura multorum angulorum, ad figuram multorum angulorũ duplicem habet rationem, quam latus homologon, ad latus homologon.

Propositio 21. Theorema.

Quæ eidem rectangulo sunt similia, etiam inter se sunt similia.

Propositio 22. Theorema.

Si quatuor lineæ rectæ fuerint proportionales, etiam rectilineæ figuræ similes, similiterq́ ab eis descriptæ proportionales erunt. Et si rectilineæ figuræ similes, & ab his lineis rectis similiter descriptæ fuerint proportionales, etiã ipsæ lineæ rectæ ꝓportionales erũt.

Propositio 23. Theorema.

Parallelogramma æquales angulos habentia, proportionem inter se habent, ex lateribus compositam.

Propositio 24. Theorema.

Omnis parallelogrammi, quæ circa dia-

διάμετρον παραλληλόγραμμα, ὅμοιά ἐστι, τῷ τε ὅλῳ, καὶ ἀλλήλοις.

Πρότασις κε. πρόβλημα.

Τῷ δοθέντι εὐθυγράμμῳ, ὅμοιον, καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συστήσασθαι.

Πρότασις κϛ. Θεώρημα.

Ἐὰν ἀπὸ παραλληλογράμμου, παραλληλόγραμμον ἀφαιρεθῇ, ὅμοιόν τε τῷ ὅλῳ, καὶ ὁμοίως κείμενον, κοινὴν γωνίαν ἔχων αὐτῷ περὶ τὴν αὐτὴν διάμετρον ἐστι τῷ ὅλῳ.

Πρότασις κζ. Θεώρημα.

Πάντων τῶν παρὰ τὴν αὐτὴν εὐθεῖαν παραβαλλομένων παραλληλογράμμων, καὶ ἐλλειπόντων εἴδεσι παραλληλογράμμοις, ὁμοίοις τε, καὶ ὁμοίως κειμένοις, τῷ ἀπὸ τῆς ἡμισείας ἀναγραφομένῳ, μέγιστόν ἐστι, τὸ ἀπὸ τῆς ἡμισείας παραβαλλόμενον παραλληλόγραμμον, ὅμοιον ὂν, τῷ ἐλλείμματι.

Πρότασις κη. πρόβλημα.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν, τῷ δοθέντι εὐθυγράμμῳ, ἴσον παραλληλόγραμμον παραβαλεῖν, ἐλλεῖπον εἴδει παραλληλογράμμῳ ὁμοίῳ ὄντι τῷ δοθέντι. Δεῖ δὴ τὸ διδόμενον

εὐθυ-

metrũ sunt parallelogramma, similia sunt toti parallelogrammo, & inter se.

Propositio 25. Problema.

Datæ figuræ rectilineæ similem, & aliæ figuræ rectilineæ datæ eandem æqualem figuram rectilineam constituere.

Propositio 26. Theorema.

Si auferatur ex parallelogrammo aliud parallelogrammon simile, & similiter positum toti parallelogrammo, ita vt etiam communem cum ipso habeat angulum: erit circa eandem cum ipso diametro.

Propositio 27. Theorema.

Omnium parallelogrammorum quæ ad eandem lineam rectam applicantur, & deficiunt parallelogrãmis figuris, similibus & similiter positis, parallelogrammon quod à dimidia describitur, atq; defectui simile est, erit maius eo, quod à dimidia describitur.

Propositio 28. problema.

Datæ lineæ rectæ, dato rectilineo æquale parallelogrammon applicare deficiens figura parallelogramma, simili datæ figuræ. Sed oportet illud rectilineum, cui æquale ponendum

εὐθύγραμμον, ᾧ δεῖ ἴσον παραβαλεῖν, μὴ μεῖζον εἶναι, τοῦ ἀπὸ τῆς ἡμισείας παραβαλλομένου, ὁμοίων ὄντων τῶν ἐλλειμμάτων, τοῦ τε ἀπὸ τῆς ἡμισείας, καὶ ᾧ δεῖ ὅμοιον ἐλλείπειν.

Πρότασις κθ. πρόβλημα.

Παρὰ τὴν δοθεῖσαν εὐθεῖαν, τῷ δοθέντι εὐθυγράμμῳ, ἴσον παραλληλόγραμμον παραβαλεῖν, ὑπερβάλλον εἴδει παραλληλογράμμῳ ὁμοίῳ τῷ δοθέντι.

Πρότασις λ. πρόβλημα.

Τὴν δοθεῖσαν εὐθεῖαν πεπερασμένην, ἄκρον, καὶ μέσον λόγον τεμεῖν.

Πρότασις λα. θεώρημα.

Εν τοῖς ὀρθογωνίοις τριγώνοις, τὸ ἀπὸ τῆς, τὴν ὀρθὴν γωνίαν, ὑποτεινούσης πλευρᾶς εἶδος, ἴσον ἐστὶ, τοῖς ἀπὸ τῶν, τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν εἴδεσι, τοῖς ὁμοίοις, καὶ ὁμοίως ἀναγραφομένοις.

Πρότασις λβ. θεώρημα.

Εαν δύο τρίγωνα συντεθῇ, κατὰ μίαν γωνίαν, τὰς δύο πλευρὰς, ταῖς δυσὶ πλευραῖς, ἀνάλογον ἔχοντα, ὥστε, τὰς ὁμολόγους αὐ-

τῶν

dum & applicandum est non esse maius rectilineo, quod à dimidia describitur istis defectibus existentibus similibus, eius quod à dimidia describitur, & eius cui simile deficere oportet.

Propositio 29. problema.

Datæ lineæ rectæ dato rectilineo applicare æquale parallelogrammon, quod excedit figura parallelogramma simili datæ figuræ rectilineæ.

Propositio 30. problema.

Datam lineam rectam extrema & media ratione secare.

Propositio 31. Theorema.

In datis triangulis rectangulis, figura quæ describitur à latere subtendente angulum illum rectum, æqualis est figuris, quæ describuntur à lateribus angulũ illum rectum continentibus, similibus similiterq; descriptis.

Propositio 32. Theorema.

Si duo trianguli coniuncti ad vnum angulum, habentesq; duo latera duobus laterib. proportionalia: ita vt latera homologa sint

æque-

τῶν πλευρὰς, καὶ παραλλήλους εἶναι, αἱ λοιπαὶ τῶν τριγώνων πλευραὶ, ἐπ' εὐθείας ἔσονται.

Πρότασις λγ΄. θεώρημα.

Εν τοῖς ἴσοις κύκλοις, αἱ γωνίαι, τὸν αὐτὸν λόγον ἔχουσι, ταῖς περιφερείαις ἐφ' ὧν βεβήκασιν, ἐάν τε πρὸς τοῖς κέντροις, ἐάν τε πρὸς ταῖς περιφερείαις, ὦσι βεβηκυῖαι. ἔτι δὲ καὶ οἱ τομεῖς, ἅτε πρὸς τοῖς κέντροις συνιστάμενοι.

Τέλος τοῦ ἕκτου στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ΕΒΔΟΜΟΝ.

ΟΡΟΙ.

Μονάς ἐστι, καθ' ἣν ὁ ἕκαστον τῶν ὄντων ἓν λέγεται.

Αριθμὸς δὲ, τὸ ἐκ μονάδων συγκείμενον πλῆθος.

Μέρος ἐστὶν ἀριθμὸς ἀριθμοῦ, ὁ ἐλάσσων τοῦ μείζονος, ὅταν καταμετρῇ τὸν μείζονα.

Μέρη δὲ, ὅταν μὴ καταμετρῇ.

Πολλα-

æquediſtantia: tum reliqua triangulorum latera ἐπ' εὐθείας ſunt poſita.

Propoſitio 33. Theorema.

In circulis æqualibus anguli eandem habent rationem quam circumferentiæ in quibus conſiſtunt: ſiue ſint ad centra, ſiue ad circumferentias conſtituti. præterea & ſectores ad centra ſcilicet conſtituti.

Finis libri ſexti.

EVCLIDIS ELEMENTOrum Liber Septimus.

Definitiones.

VNitas eſt ſecundũ quam vnumquodq; vnum dicitur.

Numerus verò multitudo ex vnitatibus compoſita.

Numer⁹ alterius numeri pars eſſe dicitur minor maioris: quãdo maiorẽ exactè metitur.

Numerus verò alterius numeri partes eſſe dicitur, quando nõ exactè metitur maiorẽ.

Nume

Πολλαπλάσιος δὲ, ὁ μείζων τοῦ ἐλάττονος, ὅταν καταμετρεῖται ὑπὸ τοῦ ἐλάττονος.

Ἄρτιος δὲ ἀριθμός ἐστιν, ὁ δίχα διαιρούμενος.

Περιττὸς δὲ, ὁ μὴ διαιρούμενος δίχα. ἢ ὁ μονάδι διαφέρων ἀρτίου ἀριθμοῦ.

Ἀρτιάκις ἄρτιος ἀριθμός ἐστιν, ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος, κατ᾽ ἄρτιον ἀριθμόν.

Ἀρτιάκις δὲ περισσός ἐστιν, ὁ ὑπὸ ἀρτίου ἀριθμοῦ μετρούμενος, κατὰ περισσὸν ἀριθμόν.

Περισσάκις δὲ περισσός ἐστιν ἀριθμὸς, ὁ ὑπὸ περισσοῦ ἀριθμοῦ, μετρούμενος, κατὰ περισσὸν ἀριθμόν.

Πρῶτος ἀριθμός ἐστιν, ὁ μονάδι μόνη μετρούμενος.

Πρῶτοι πρὸς ἀλλήλους ἀριθμοί εἰσιν, οἱ μονάδι μόνη μετρούμενοι κοινῷ μέτρῳ.

Σύνθετος ἀριθμός ἐστιν, ὁ ἀριθμῷ τινὶ μετρούμενος.

Σύνθετοι δὲ πρὸς ἀλλήλους, ἀριθμοί εἰσιν, οἱ ἀριθμῷ τινὶ μετρούμενοι κοινῷ μέτρῳ.

Ἀριθμὸς ἀριθμὸν πολλαπλασιάζειν λέγεται,

Numerus alterius numeri multiplex esse dicitur maior minoris: quando minor maiorẽ exactè metitur.

Numerus par est, quem in duas partes æquales diuidere possumus.

Numerus verò impar, qui non potest diuidi in duas partes æquales: vel is qui vnitatẽ differt à numero pari.

Numerus pariter par est, quem par numerus per partem metitur.

Numerus pariter impar est, quem numerus par metitur per numerum imparem.

Numerus impariter impar est, quẽ impar numerus per imparem metitur.

Numerus primus est, quem sola metitur vnitas.

Numeri inter se primi sunt, quos sola vnitas communi mensura metitur.

Numerus compositus est, quem numerus aliquis metitur.

Numeri inter se compositi, quos numerus aliquis communi metitur mensura.

Numerus numerum multiplicare dicitur,

γεται, ὅταν ὅσαι εἰσὶν ἐν αὐτῷ μονάδες, τοσαυτάκις συντεθῇ ὁ πολλαπλασιαζόμενος, καὶ γένηταί τις.

Οταν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους, ποιῶσί τινα, ὁ γενόμενος, ἐπίπεδος καλεῖται.

Πλευραὶ δὲ αὐτοῦ, οἱ πολλαπλασιάσαντες ἀλλήλους ἀριθμοί.

Οταν δὲ τρεῖς ἀριθμοὶ, πολλαπλασιάσαντες ἀλλήλους, ποιῶσί τινα, ὁ γενόμενος, στερεὸς καλεῖται.

Πλευραὶ δὲ αὐτῶν, οἱ πολλαπλασιάσαντες ἀριθμοί.

Τετράγωνος ἀριθμός ἐστιν, ὁ ἰσάκις ἴσος: ἢ ὁ ὑπὸ δύο ἴσων ἀριθμῶν περιεχόμενος.

Κύβος δὲ, ὁ ἰσάκις ἴσος ἰσάκις. ἢ ὁ ὑπὸ τριῶν ἴσων ἀριθμῶν περιεχόμενος.

Αριθμοὶ ἀνάλογόν εἰσιν, ὅταν ὁ πρῶτος τοῦ δευτέρου, καὶ ὁ τρίτος, τοῦ τετάρτου ἰσάκις ἢ πολλαπλάσιος, ἢ τὸ αὐτὸ μέρος, ἢ τὰ αὐτὰ μέρη ὦσιν.

Ομοι-

quando quot in ipſo multiplicante fuerint vnitates, toties componitur numerus multiplicandus & producitur aliquis numerus.

Quando verò duo numeri ſeſe mutuo multiplicantes producunt aliquem, numerus qui producitur appellatur planus.

Latera vero eius ſunt, numeri ſeſe mutuò multiplicantes.

Si verò tres numeri ſeſe mutuo multiplicantes produxerint aliquem numerum: is qui fit ſolidus nominatur.

Eius verò latera ſunt numeri, ſeſe mutuo multiplicantes.

Numerus quadratus eſt, qui æqualiter eſt æqualis: vel qui ex duorum æqualium numerorum multiplicatione fit.

Numerus verò cubus dicitur qui æqualiter æqualis eſt, æqualiter: id eſt qui fit ex multiplicatione trium æqualium numerorum.

Numeri proportionales ſunt, quando primus ſecundi, & tertius quarti æqualiter fuerit multiplex, aut eadẽ pars, aut eædẽ partes.

Ὅμοιοι ἐπίπεδοι καὶ στερεοὶ ἀριθμοί εἰσιν, οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς.

Τέλειος ἀριθμός ἐστιν, ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν.

ΠΡΟΤΑ'ΣΕΙΣ.

Πρότασις α. θεώρημα.

Ἐὰν δύο ἀριθμῶν ἀνίσων ἐκκειμένων, ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος, ὁ λοιπόμενος, μηδέποτε καταμετρῇ τὸν πρὸ ἑαυτοῦ, ἕως οὗ ληφθῇ μονάς, οἱ ἐξ ἀρχῆς ἀριθμοί, πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Πρότασις β. πρόβλημα.

Δύο ἀριθμῶν δοθέντων, μὴ πρώτων πρὸς ἀλλήλους, μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Πρότασις γ. θεώρημα.

Τριῶν ἀριθμῶν δοθέντων, μὴ πρώτων πρὸς ἀλλήλους, τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Πρότασις δ. θεώρημα.

Πᾶς ἀριθμός, παντὸς ἀριθμοῦ, ὁ ἐλάσσων τοῦ μείζονος, ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Πρότασις ε. θεώρημα.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος

ἑτέ-

Similes plani & solidi numeri sunt, qui latera habent proportionalia.

Numerus perfectus est, qui partibus sui ipsius est æqualis.

Propositiones.

Propositio 1. Theorema.

Si duobus numeris inæqualibus propositis, semper minor à maiore auferatur: & tandem is qui relinquitur, præcedentem nō amplius exacte metiatur, donec sumatur vnitas, numeri ab initio propositi primi inter se sunt.

Propositio 2. problema.

Duobus propositis numeris non primis inter se: inuenire maximam eorum communem mensuram.

Propositio 3. problema.

Trib⁹ ꝓpositis numeris nō primis inter se: maximam eorū communē mēsuram inuenire.

Propositio 4. Theorema.

Omnis numerus, omnis numeri minor maioris: vel est pars, vel partes.

Propositio 5. Theorema.

Si numerus numeri pars fuerit, & alter al-

ἑτέρου, τὸ αὐτὸ μέρος, καὶ συναμφότερος συναμφοτέρου, τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός. Πρότασις ϛ. Θεώρημα.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου, τὰ αὐτὰ μέρη ᾖ, καὶ συναμφότερος συναμφοτέρου, τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ εἷς τοῦ ἑνός. Πρότασις ζ. Θεώρημα.

Ἐὰν ἀριθμὸς, ἀριθμοῦ μέρος ᾖ, ὅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ, τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ ὅλος τοῦ ὅλου.

Πρότασις η. Θεώρημα.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, ἅπερ ἀφαιρεθεὶς ἀφερεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ, τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ ὅλος τοῦ ὅλου. Πρότασις θ. Θεώρημα.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου, τὸ αὐτὸ μέρος, καὶ ἐναλλὰξ, ὃ μέρος ἐστὶν ἢ μέρη, ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἔσται, ἢ τὰ αὐτὰ μέρη, καὶ ὁ δεύτερος τοῦ τετάρτου.

Πρότασις ι. Θεώρημα.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη, καὶ ἐναλλὰξ, ἃ μέρη ἐστὶν,

terius eadem pars etiam additus additi eadẽ pars erit, quæ vnus vnius.

Propositio 6. Theorema.

Si numerus numeri partes sit, & alter alterius eædem partes, etiam additus additi eædem partes erit, quæ est vnus vnius.

Propositio 7. Theorema.

Si numerus numeri pars sit, quæ pars est numerus ablatus, numeri ablati: etiam reliquus reliqui eadẽ pars erit, quæ totus totius.

Propositio 8. Theorema.

Si numerus alterius numeri fuerit partes, quæ partes est numerus ablatus, numeri ablati, etiam reliquus numerus reliqui numeri eædem partes erit, quæ partes est totus totius.

Propositio 9. Theorema.

Si numerus alterius numeri pars fuerit, & alter alterius eadẽ pars, tum permutatim quæ pars est, vel partes primus tertij: eadem pars vel partes est, secundus quarti.

Propositio 10. Theorema.

Si numerus alterius numeri fuerit partes, et alter alterius eædẽ partes, etiam permuta-

ϛὶν, ὁ πρῶτος τοῦ τρίτου, ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται, καὶ ὁ δεύτερος τοῦ τετάρτου, ἢ μέρος.

Πρότασις ια. Θεώρημα.

Εαν ᾖ ὡς ὅλος πρὸς ὅλον, οὕτως ἀφαιρεθεὶς πρὸς ἀφαιρεθέντα, καὶ ὁ λοιπὸς πρὸς τὸν λοιπὸν ἔσται, ὡς ὅλος, πρὸς ὅλον.

Πρότασις ιϐ. πρόϐλημα.

Εαν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον, ἔσται ὡς εἷς τῶν ἡγουμένων, πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι, πρὸς ἅπαντας τοὺς ἑπομένους.

Πρότασις ιγ. Θεώρημα.

Εὰν τέσσαρες ἀριθμοὶ, ἀνάλογον ὦσι, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται.

Πρότασις ιδ. Θεώρημα.

Εὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος, σύνδυο λαμϐανόμενοι, καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ διίσου, ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Πρότασις ιε. Θεώρημα.

Εὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἰσάκις δὲ ἕτερος ἀριθμὸς, ἄλλον τινὰ ἀριθμὸν μετρῇ, καὶ ἐναλ-

tim quæ partes est primus tertij vel pars, eadem partes secundus erit quarti vel pars.

Propositio 11. Theorema.

Si fuerit vt numerus totus ad numerum totum, ita ablatus numerus ad ablatum: etiam reliquus ad reliquum erit vt totus numerus ad numerum totum.

Propositio 12. Theorema.

Si quotcunq; fuerint numeri proportionales, erit vt unus ex antecedentibus: ad vnum ex consequentibus: ita omnes antecedentes, ad omnes consequentes.

Propositio 13. Theorema.

Si quatuor numeri fuerint proportionales, etiam permutatim proportionales erunt.

Propositio 14. Theorema.

Si fuerint quotcunq; numeri, & alij his æquales numero bini collati & in eadem proportione & iam ex æquo in eadem erunt proportione.

Propositio 15. Theorema.

Si vnitas aliquem metitur numerum, æqualiter verò alius quispiam numerus, alium

καὶ ἐναλλὰξ, ἰσάκις ἡ μονὰς, τὸν τρίτον ἀριθμὸν μετρήσει, καὶ ὁ δεύτερος τὸν τέταρτον.

Πρότασις ιϛ. θεώρημα.

Εαν δύο ἀριθμοὶ, πολλαπλασιάζαντες ἀλλήλους, ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν, ἴσοι ἀλλήλοις ἔσονται.

Πρότασις ιζ. θεώρημα.

Εαν ἀριθμὸς, δύο ἀριθμοὺς πολλαπλασιάσας, ποιῇ τινὰς, οἱ γενόμενοι ἐξ αὐτῶν, τὸν αὐτὸν λόγον ἔχουσι τοῖς πολλαπλασιασθεῖσιν.

Πρότασις ιη. θεώρημα.

Εαν δύο ἀριθμοὶ, ἀριθμόν τινα πολλαπλασιάζαντες, ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν, τὸν αὐτὸν ἕξουσι λόγον, τοῖς πολλαπλασιάσασι.

Πρότασις ιθ. θεώρημα.

Εαν τέσσαρες ἀριθμοὶ, ἀνάλογον ὦσιν, ὁ ἐκ τοῦ πρώτου καὶ τετάρτου, γενόμενος ἀριθμὸς, ἴσος ἔσται, τῷ ἐκ τοῦ δευτέρου καὶ τρίτου γινομένῳ ἀριθμῷ. Καὶ ἐαν ὁ ἐκ τοῦ πρώτου καὶ τετάρτου, γενόμενος ἀριθμὸς, ἴσος ᾖ

τῷ

numerum metiatur: tum permutatim vnitas æqualiter metietur numerum tertium, & secundus quartum.

Propositio 16. Theorema.

Si duo numeri sese mutuò multiplicantes produxerint aliquos, numeri ex eiusmodi multiplicatione facti, æquales inter se sunt.

Propositio 17. Theorema.

Si numerus aliquis duos numeros multiplicat, tum numeri ex eiusmodi multiplicatione facti, eandem habebunt quam multiplicati rationem.

Propositio 18. Theorema.

Si duo numeri aliquem multiplicauerint numerum, & producant aliquos, numeri producti ex horum multiplicatione eandem quã multiplicantes, habebunt rationem.

Propositio 19. Theorema.

Si quatuor numeri fuerint proportionales, numerus qui fit ex multiplicatione primi in quartum, erit æqualis ei qui producitur ex multiplicatione secundi in tertium: & si numerus ex multiplicatione primi in quartum

factus

τῷ ἐκ τοῦ δευτέρου καὶ τρίτου, οἱ τέσσαρες ἀριθμοὶ, ἀνάλογον ἔσονται.

Πρότασις κ. θεώρημα.

Εαν τρεῖς ἀριθμοὶ, ἀνάλογον ὦσιν, ὁ ὑπὸ τῶν ἄκρων, ἴσος ἐςὶ τῷ ἀπὸ τοῦ μέσου. ἐαν δὲ ὁ ὑπὸ τῶν ἄκρων ἴσος ᾖ, τῷ ἀπὸ τοῦ μέσου, οἱ τρεῖς ἀριθμοὶ, ἀνάλογον ἔσονται.

Πρότασις κα. Θεώρημα.

Οἱ ἐλάχισοι ἀριθμοὶ, τῶν, τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, μετροῦσι, τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς, ἰσάκις, ὅ, τε μείζων τὸν μείζονα, καὶ ὁ ἐλάττων, τὸν ἐλάττονα.

Πρότασις κβ. θεώρημα.

Εαν ὦσι τρεῖς ἀριθμοὶ, καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος, σιώδυο λαμβανόμενοι, καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἡ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ διίσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Πρότασις κγ. θεώρημα.

Οἱ πρῶτοι πρὸς ἀλλήλους ἀριθμοὶ, ἐλάχισοί εἰσι, τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Πρότα-

fuerit æqualis ei, qui ſit ex multiplicatione ſecundi in quartum, tum quatuor illi numeri erunt proportionales.

Propoſitio Vigeſima.

Si tres numeri fuerint proportionales, numerus ex multiplicatione extremorũ factus æqualis eſt quadrato numeri medij, & ſi numerus ex multiplicatione extremorum factus, æqualis eſt quadrato numeri medij, tres illi numeri erunt proportionales.

Propoſitio 21. Theorema.

Minimi numeri eandem habentes rationem metiuntur numeros eandem cum ipſis habentes rationem æqualiter: maior maiorẽ, & minor minorem.

Propoſitio 22. Theorema.

Si fuerint tres numeri & alij numeri æquales, bini collati & in eadem ratione, ſit verò illorũ proportio perturbata: tum ex æquo in eadem erunt ratione.

Propoſitio 23. Theorema.

Numeri primi inter ſe, ſunt minimi eorũ qui eandem cum ipſis habent rationem.

Pro-

Πρότασις κδ. θεώρημα.

Οἱ ἐλάχιστοι ἀριθμοὶ, τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Πρότασις κε. θεώρημα.

Εαν δύο ἀριθμοὶ, πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ τὸν ἕνα αὐτῶν μετρῶν ἀριθμός, πρὸς τὸν λοιπὸν, πρῶτος ἔσται.

Πρότασις κϛ. θεώρημα.

Εαν δύο ἀριθμοὶ, πρός τινα ἀριθμὸν πρῶτοι ὦσιν, καὶ ὁ ἐξ αὐτῶν γενόμενος, πρὸς τὸν αὐτὸν πρῶτος ἔσται.

Πρότασις κζ. θεώρημα.

Εὰν δύο ἀριθμοὶ, πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἐκ τοῦ ἑνὸς αὐτῶν γενόμενος, πρὸς τὸν λοιπὸν, πρῶτος ἔσται.

Πρότασις κη. θεώρημα.

Εὰν δύο ἀριθμοὶ, πρὸς δύο ἀριθμοὺς, ἀμφότεροι, πρὸς ἑκάτερον, πρῶτοι ὦσι: καὶ οἱ ἐξ αὐτῶν γενόμενοι, πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Πρότασις κθ. θεώρημα.

Εὰν δύο ἀριθμοὶ, πρῶτοι πρὸς ἀλλήλους ὦσι,

Propositio 24. Theorema.

Numeri minimi eorum qui eandem cum ipsis habent proportionẽ: primi inter se sunt.

Propositio 25. Theorema.

Si duo numeri primi inter se fuerint: is qui vnũ ex illis metitur: primus erit ad reliquũ.

Propositio 26. Theorema.

Si duo numeri ad vnum fuerint primi: tũ is qui producitur ex horum multiplicatione ad eundem quoq; primus erit.

Propositio 27. Theorema.

Si duo numeri primi inter se fuerint, is qui fit ex multiplicatione vnius illorum duorum: primus erit ad reliquum.

Propositio 28. Theorema.

Si duo numeri ad duos numeros vterq; ad vtrunq; primi fuerint: tum qui ex horum fiunt multiplicatione etiã primi inter se erunt.

Propositio 29. Theorema.

Si duo numeri primi inter se fuerint: & vterq;

ὦσι, καὶ πολλαπλασιάσας ἑκάτερος ἑαυτὸν, ποιῇ τινα, οἱ γινόμενοι ἐξ αὐτῶν, πρῶτοι πρὸς ἀλλήλους ἔσονται. Κἂν οἱ ἐξ ἀρχῆς, τοὺς γινομένους πολλαπλασιάσαντες, ποιῶσί τινας, κἀκεῖνοι πρῶτοι πρὸς ἀλλήλους ἔσονται, καὶ ἀεὶ περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει.

Πρότασις λ. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ συναμφότερος πρὸς ἑκάτερον αὐτῶν, πρῶτος ἔσται. καὶ ἐὰν συναμφότερος πρὸς ἕνα τινὰ αὐτῶν πρῶτος ᾖ, καὶ οἱ ἐξ ἀρχῆς ἀριθμοὶ, πρῶτοι πρὸς ἀλλήλους ἔσονται.

Πρότασις λα. Θεώρημα.

Ἅπας πρῶτος ἀριθμὸς, πρὸς ἅπαντα ἀριθμὸν, ὃν μὴ μετρεῖ, πρῶτός ἐστιν.

Πρότασις λβ. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ, πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, τὸν δὲ γινόμενον ἐξ αὐτῶν, μετρῇ τις πρῶτος ἀριθμὸς, καὶ ἕνα τῶν ἐξ ἀρχῆς μετρήσει.

Πρότασις λγ. Θεώρημα.

Ἅπας σύνθετος ἀριθμὸς, ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται.

Πρότα-

vterq; seipsum multiplicet ac producat aliquem numerum tum producti ex his numeri etiam primi inter se erunt, & si ab initio propositi numeri hos multiplicantes producant alios: etiam illi primi inter se erunt, id perpetuo circa extremos contingit numeros.

Propositio 30. Theorema.

Si duo numeri primi inter se fuerint, & vterq; simul ad vtrũq; illorum erit primus, & si vterq; simul ad vnum aliquem illorũ est primus, etiam numeri ab initio propositi, primi inter se erunt.

Propositio 31. Theorema.

Omnis numerus ad omnem numerum quẽ non metitur primus est.

Propositio 32. Theorema.

Si duo numeri sese multiplicantes producant aliquem, eumq; metiatur aliquis numerus primus, tum etiã vnum ex ijs qui ab initio erant propositi metietur.

Propositio 33. Theorema.

Omnem compositum numerum, aliquis primus numerus metitur.

Πρότασις λδ. Θεώρημα.

Ἅπας ἀριθμὸς, ἤτοι πρῶτός ἐστιν, ἢ ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται.

Πρότασις λε. Θεώρημα.

Ἀριθμῶν δοθέντων ὁποσωνοῦν, εὑρεῖν τοὺς ἐλαχίστους, τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Πρότασις λς. Θεώρημα.

Δύο ἀριθμῶν δοθέντων, εὑρεῖν ὃν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Πρότασις λζ. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ, ἀριθμόν τινα μετρῶσι, καὶ ὁ ἐλάχιστος, ὑπ' αὐτῶν μετρούμενος, τὸν αὐτὸν μετρήσει.

Πρότασις λη. Θεώρημα.

Τριῶν ἀριθμῶν δοθέντων, εὑρεῖν ὃν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Πρότασις λθ. Θεώρημα.

Ἐὰν ἀριθμὸς, ὑπό τινος ἀριθμοῦ μετρῆται, ὁ μετρούμενος, ὁμώνυμον μέρος ἕξει τῷ μετροῦντι.

Πρώτασις μ. Θεώρημα.

Ἐὰν ἀριθμὸς, μέρος ἔχῃ ὁτιοῦν, ὑπὸ ὁμωνύ-

Propositio 34. Theorema.

Omnis numerus, aut primus est, aut primus numerus eum metitur.

Propositio 35. Theorema.

Quotcunq; numeris datis, inuenire minimos eandem cum ipsis habentes proportionē.

Propositio 36. Theorema.

Duobus propositis numeris inuenire minimum quem metiantur.

Propositio 37. Theorema.

Si duo numeri metiantur vnum aliquem numerum, tum minimus quem illi metiuntur metietur etiam eundem.

Propositio 38. problema.

Tribus propositis numeris, inuenire minimum quem metiantur.

Propositio 39. Theorema.

Si aliquem numerum metiatur aliquis alius numerus is quem alter metitur habebit cum eo qui metitur alterum numero partem denominationis eiusdem.

Propositio 40. Theorema.

Si numerus aliquis quamcūq; habuerit par

μωνύμου ἀριθμοῦ μετρηθήσεται τῷ μέρει.

Πρότασις μα. πρόβλημα.

Αριθμὸν εὑρεῖν, ὃς ἐλάχιστος ὢν, ἕξει τὰ δοθέντα μέρη.

Τέλος τοῦ ἑβδόμου στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ὈΓΔΟΟΝ.

Πρότασις α. θεώρημα.

Ἐὰν ὦσιν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ δ᾽ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν: ἐλάχιστοι εἰσὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Πρότασις β. πρόβλημα.

Αριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους, ὅσους ἐπιτάξῃ τις ἐν τῷ δοθέντι λόγῳ.

Πρότασις γ. θεώρημα.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν, πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Πρότα-

tem tum aliquis alius numerus eiusdem cum parte denominationis metietur eum.

Propositio 14. problema.

Numerum inuenire, qui cum sit minimus, habeat in se partes datas.

Finis Libri Septimi.

EVCLIDIS ELEMENTORVM LIBER OCTAVVS.

Propositio 1. Theorema.

SI fuerint quotcunq; numeri continue proportionales, atq; numeri extremi eorum inter se sint primi: tum erunt minimi eorum, qui eandem habent rationem.

Propositio 2. problema.

Numeros continue proportionales minimos inuenire, quotquot aliquis volet, in data proportione.

Propositio 3. Theorema.

Si aliquot numeri cōtinue proportionales fuerint, minimi eorum qui in eadem sunt proportione, extremi eorum primi inter se sunt.

Πρότασις δ. πρόβλημα.

Λόγων δοθέντων ὁποσωνοῦν ἐν ἐλαχίστοις ἀριθμοῖς ἀριθμοὺς εὑρεῖν ἑξῆς ἐλαχίστους ἐν τοῖς δοθεῖσι λόγοις.

Πρότασις ε. Θεώρημα.

Οἱ ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσι τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Πρότασις ϛ. Θεώρημα.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν δεύτερον μὴ μετρεῖ: οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

Πρότασις ζ. Θεώρημα.

Ἐὰν ὦσιν ὁπόσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρεῖ, καὶ τὸν δεύτερον μετρήσει.

πρότασις η. Θεώρημα.

Ἐὰν δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοὶ, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, τοσοῦτοι, καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς, μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπεσοῦνται.

πρότα-

Propositio 4. problema.

Datis proportionibus aliquot in minimis numeris, inuenire numeros continue minimos in datis proportionibus.

Propositio 5. Theorema.

Numeri plani proportionem inter se habent ex lateribus eorum compositam.

Propositio 6. Theorema.

Si fuerint aliquot numeri continue proportionales & primus non metiatur secundum: neq; quispiam alius quempiã metietur.

Propositio 7. Theorema.

Si fuerint aliquot numeri continue proportionales, & primus metiatur postremum: etiam metietur secundum.

Propositio 8. Theorema.

Si inter duos numeros continue proportionales incidant numeri: quotcunq; inter ipsos incident continue proportionales, totidem incident inter eos qui continue proportionales cum ipsis eandem habent proportionem.

Πρότασις θ. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ, πρῶτοι πρὸς ἀλλήλους ὦσι, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοὶ, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, τοσοῦτοι καὶ ἑκατέρου αὐτῶν καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπεσοῦνται.

Πρότασις ι. Θεώρημα.

Ἐὰν δύο ἀριθμῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπίπτωσιν ἀριθμοὶ, ὅσοι ἑκατέρου αὐτῶν, καὶ μονάδος ἑξῆς μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, τοσοῦτοι καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς, ἀνάλογον ἐμπεσοῦνται.

Πρότασις ια. Θεώρημα.

Δύο τετραγώνων ἀριθμῶν, εἷς μέσος ἀνάλογός ἐστιν ἀριθμός. καὶ ὁ τετράγωνος, πρὸς τὸν τετράγωνον, διπλασίονα λόγον ἔχει, ἤπερ ἡ πλευρὰ, πρὸς τὴν πλευράν.

Πρότασις ιβ. Θεώρημα.

Δύο κύβων ἀριθμῶν, δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί: καὶ ὁ κύβος πρὸς τὸν κύβον,

Propositio 9. Theorema.

Si duo numeri primi inter se sunt, & inter ipsos continue proportionales incidant numeri: quot inter ipsos continue proportionales incidunt numeri, tot et inter utrunq; ipsorum & vnitatē continue proportionales incident.

Propositio 10. Theorema.

Si inter duos numeros & vnitatem continue proportionales incidant numeri: quot inter vtrunq; ipsorum & vnitatem continue proportionales incidunt numeri: tot inter ipsos continue proportionales incident.

Propositio 11. Theorema.

Duorum quadratorum numerorum unus est numerus medius proportionalis: & quadratus ad quadratum duplicatam habet rationem, quam latus ad latus.

Propositio 12. Theorema.

Duorum cuborum numerorum, duo medij proportionales numeri sunt, & cubus ad cu-

βον, τριπλασίονα λόγον ἔχει, ἤπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Πρότασις ιγ. θεώρημα.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, καὶ πολλαπλασιάσας ἕκαστος ἑαυτὸν, ποιῇ τινας, οἱ γενόμενοι ἐξ αὐτῶν, ἀνάλογον ἔσονται. Καὶ ἐὰν οἱ ἐξ ἀρχῆς, τοὺς γενομένους πολλαπλασιάσαντες, ποιῶσί τινας, καὶ αὐτοὶ ἀνάλογον ἔσονται. Καὶ ἀεὶ περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει.

Πρότασις ιδ. θεώρημα.

Ἐὰν τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει. Καὶ ἐὰν ἡ πλευρὰ, τὴν πλευρὰν μετρῇ, καὶ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

πρότασις ιε. θεώρημα.

Ἐὰν κύβος ἀριθμὸς, κύβον ἀριθμὸν μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει. Καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ κύβος τὸν κύβον μετρήσει.

πρότασις ιϛ. θεώρημα.

Ἐὰν τετράγωνος ἀριθμὸς, τετράγωνον ἀριθμὸν μὴ μετρῇ, οὐδὲ ἡ πλευρὰ τὴν πλευ-

ρὰν

bum triplicatam rationem habet quam latus ad latus.

Propositio 13. Theorema.

Si fuerint quotcunque numeri continue proportionales, & quisque eorum seipsum multiplicet, producatque aliquem numerum, tum producti ex ipsis proportionales erunt. & si illi qui ab initio positi fuerant, multiplicantes eos, qui iam sunt producti, aliosque producant: etiam illi proportionales erunt: idque semper in extremis fit numeris.

Propositio 14. Theorema.

Si quadratus numerus numerum quadratum metitur: tum etiam latus metietur alterum latus: & si latus metitur alterum latus: etiam quadratus quadratum metietur.

Propositio 15. Theorema.

Si numerus cubus numerum cubum metitur, etiam latus metietur alterum latus: & si latus, alterum metitur latus: etiam cubus cubum metietur.

Propositio 16. Theorema.

Si quadratus numerus numerum quadratum non metitur: neque latus alterum latus

ρὰν μετρήσει· κἂν ἡ πλευρὰ τὴν πλευρὰν μὴ μετρῇ, οὐδ᾽ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

Πρότασις ιζ. Θεώρημα.

Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν μὴ μετρῇ, οὐδ᾽ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· κἂν ἡ πλευρὰ τὴν πλευρὰν μὴ μετρῇ οὐδ᾽ ὁ κύβος τὸν κύβον μετρήσει.

Πρότασις ιη. Θεώρημα.

Δύο ὁμοίων ἐπιπέδων ἀριθμῶν, εἷς μέσος ἀνάλογος ἐστὶν ἀριθμὸς, καὶ ὁ ἐπίπεδος πρὸς τὸν ἐπίπεδον διπλασίονα λόγον ἔχει, ἤπερ ἡ ὁμόλογος πλευρὰ, πρὸς τὴν ὁμόλογον πλευράν.

Πρότασις ιθ. Θεώρημα.

Δύο ὁμοίων στερεῶν ἀριθμῶν δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοὶ, καὶ ὁ στερεὸς πρὸς τὸν ὅμοιον στερεὸν τριπλασίονα λόγον ἔχει, ἤπερ ἡ ὁμόλογος πλευρὰ, πρὸς τὴν ὁμόλογον πλευράν.

Πρότασις κ. Θεώρημα.

Ἐὰν δύο ἀριθμῶν εἷς μέσος ἀνάλογον ἐμπίπτει ἀριθμὸς: ὅμοιοι, ἐπίπεδοι ἔσονται ἀριθμοί.

metietur: & si latus alterum latus non metitur: neq; quadratus quadratum metietur.

Propositio 17. Theorema.

Si cubus numerus, numerum cubum non metitur: neq; latus metietur alterum latus: et si latus alterum latus non metitur neq; cubus metietur cubum.

Propositio 18. Theorema.

Duobus numeris planis similibus vnus est medius proportionibus, & numerus planus ad numerum planum rationem habet duplicatam quam habet latus homologon, ad latus homologon.

Propositio 19. Theorema.

Duobus numeris solidis similibus duo medij sunt interpositi proportionales numeri: et numerus solidus ad similem solidum numerũ triplicatam habet rationem, quam latus homologon, ad latus homologon.

Propositio 20. Theorema.

Si inter duos numeros vnus medius intercidit proportionalis numerus: illi numeri similes plani erunt.

Propo-

Πρότασις κα. θεώρημα.

Ἐὰν δύο ἀριθμῶν, δύο μέσοι ἀνάλογον ἐμπίπτωσιν ἀριθμοὶ, ὅμοιοι στερεοὶ ἔσονται οἱ ἀριθμοί.

Πρότασις κβ. θεώρημα.

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ δὲ πρῶτος τετράγωνος ᾖ, καὶ ὁ τρίτος τετράγωνος ἔσται.

Πρότασις κγ. θεώρημα.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ δὲ πρῶτος κύβος ᾖ, καὶ τέταρτος κύβος ἔσται.

Πρότασις κδ. θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχωσιν, ὃν τετράγωνος ἀριθμὸς, πρὸς τετράγωνον ἀριθμὸν, ὁ δὲ πρῶτος τετράγωνος ᾖ, καὶ ὁ δεύτερος τετράγωνος ἔσται.

Πρότασις κε. θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχωσιν, ὃν κύβος ἀριθμὸς, πρὸς κύβον ἀριθμὸν, ὁ δὲ πρῶτος κύβος ᾖ, καὶ ὁ δεύτερος κύβος ἔσται.

Πρό-

Propositio 21. Theorema.

Si inter duos numeros duo medij proportionales numeri interciderint: illi numeri similes solidi erunt.

Propositio 22. Theorema.

Si tres numeri continue proportionales fuerint, & primus eorum sit quadratus, etiã tertius quadratus erit.

Propositio 23. Theorema.

Si quatuor numeri continue proportionales fuerint, & primus eorum sit cubus: etiam quartus cubus erit.

Propositio 24. Theorema.

Si duo numeri proportionem inter se habeant, quam quadratus ad quadratum, & primus eorum sit quadratus, etiam secundus quadratus erit.

Propositio 25. Theorema.

Si duo numeri proportionem inter se habeant, quam numerus cubus ad numerum cubum: primus verò sit cubus: etiam secundus cubus erit.

Πρότασις κϛ Θεώρημα.

Οἱ ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν, ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν.

Πρότασις κζ. Θεώρημα.

Οἱ ὅμοιοι στερεοὶ ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσιν ὃν κύβος ἀριθμὸς πρὸς κύβον ἀριθμόν.

Τέλος τοῦ ὀγδόου στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ΕΝΝΑΤΟΝ.

Πρότασις α. Θεώρημα.

Ἐὰν δύο ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους, ποιῶσι τινά, ὁ γενόμενος τετράγωνος ἔσται.

Πρότασις β. Θεώρημα.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσι τετράγωνον, ὅμοιοι ἐπίπεδοι εἰσί.

Πρότασις γ. Θεώρημα.

Ἐὰν κύβος ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας

σιάσας

Propositio 26. Theorema.

Numeri similes plani inter se proportionem habent, quam quadratus ad quadratum.

Propositio 27. Theorema.

Numeri similes solidi proportionem inter se habent: quam cubus ad cubum.

Finis Libri Octaui.

EVCLIDIS ELEMENT. LIBER NONVS.

Propositio 1. Theorema.

SI duo numeri similes plani sese mutuo multiplicauerint ac producant aliquem numerum: is numerus erit quadratus.

Propositio 2. Theorema.

Si duo numeri sese mutuo multiplicantes, producant numerum quadratum: erunt illi duo numeri similes plani.

Propositio 3. Theorema.

Si numerus cubus seipsum multiplicaue-

σιάσας ποιῇ τινὰ ὁ γινόμενος κύβος ἔσται.

Πρότασις δ. Θεώρημα.

Εαν κύβος ἀριθμὸς, κύβον ἀριθμὸν πολλαπλασιάσας ποιῇ τινὰ, ὁ γινόμενος κύβος ἔσται.

Πρότασις ε. Θεώρημα.

Εαν κύβος ἀριθμὸς, ἀριθμὸν τινὰ πολλαπλασιάσας κύβον ποιῇ, καὶ ὁ πολλαπλασιασθεὶς κύβος ἔσται.

Πρότασις ς. Θεώρημα,

Εὰν ἀριθμὸς ἑαυτὸν πολλαπλασιάσας κύβον ποιῇ, καὶ αὐτὸς κύβος ἔσται.

Πρότασις ζ. Θεώρημα.

Εὰν σύνθετος ἀριθμὸς, ἀριθμὸν τινὰ πολλαπλασιάσας ποιῇ τινὰ, ὁ γινόμενος στερεὸς ἔσται.

Πρότασις η. Θεώρημα.

Εὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ μὲν τρίτος ἀπὸ τῆς μονάδος τετράγωνος ἐστὶν, καὶ οἱ ἕνα διαλείποντες πάντες: ὁ δὲ τέταρτος κύβος: καὶ οἱ δύο διαλείποντες πάντες: ὁ δὲ ἕβδομος κύβος ἅμα καὶ τετράγωνος καὶ οἱ πέντε διαλείποντες πάντες.

rit, & producat aliquem numerum: is qui producitur erit cubus.

Propositio 4. Theorema.

Si cubus numerus, numerum cubum multiplicauerit, & produxerit aliquem, tum numerus productus erit cubus.

Propositio 5. Theorema.

Si numerus cubus, numerũ aliquem multiplicet: & producat cubum: & numerus multiplicatus erit cubus.

Propositio 6. Theorema.

Si numerus aliquis seipsum multiplicet ac producat cubum etiam ipsemet cubus erit.

Propositio 7. Theorema.

Si numerus compositus, numerum aliquẽ multiplicauerit & producat aliquem: numerus productus solidus erit.

Propositio 8. Theorema.

Si ab vnitate aliquot numeri cõtinuè proportionales fuerint, & tertius ab vnitate sit quadratus, etiam vno intermisso omnes: quartus verò cubus & duobus intermißis omnes, septimus verò etiam est cubus, & quadratus, & quinq; intermißis omnes.

Πρότασις θ. θεώρημα.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα τετράγωνος ᾖ, καὶ οἱ λοιποὶ πάντες τετράγωνοι ἔσονται: καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα κύβος ᾖ, καὶ οἱ λοιποὶ πάντες κύβοι ἔσονται.

Πρότασις ι. Θεώρημα.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ δὲ μετὰ τὴν μονάδα μὴ ᾖ τετράγωνος, οὐδ' ἄλλος οὐδεὶς τετράγωνος ἔσται, χωρὶς τοῦ τρίτου ἀπὸ τῆς μονάδος, καὶ τῶν ἕνα διαλειπόντων πάντων: καὶ ἐὰν ὁ μετὰ τὴν μονάδα κύβος μὴ ᾖ, οὐδ' ἄλλος οὐδεὶς κύβος ἔσται, χωρὶς τοῦ τετάρτου ἀπὸ τῆς μονάδος, καὶ τῶν δύο διαλειπόντων πάντων.

Πρότασις ια. θεώρημα.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ὁ ἐλάττων τὸν μείζονα μετρεῖ, κατά τινα τῶν ὑπαρχόντων ἐν τοῖς ἀνάλογον ἀριθμοῖς.

Πρότασις ϟθ. Θεώρημα.

Τὸ ἀπὸ μέσης ἀποτομῆς δευτέρας παρὰ

ῥητὴν

Propositio 94. Theorema.

Si superficies continetur rationali & residuo quarto recta quæ illam potest superficiem est minor linea.

Propositio 95. Theorema.

Si superficies continetur rationali & residuo quinto, recta quæ illam superficiem potest, est ea quæ dicitur cum rationali faciens totam medialem.

Propositio 96. Theorema.

Si superficies continetur rationali, & residuo sexto, recta quæ illā potest est ea quæ dicitur faciens cum mediali totam medialem.

Propositio 97. Theorema.

Quadratum residui secundum lineam rationalem applicatum, facit alterū latus residuum primum.

Propositio 98. Theorema.

Quadratum residui medialis primi applicatum rationali facit alterū latus residuum secundum.

Propositio 99. Theorema.

Quadratum residui medialis secundi applica-

ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τρίτην.

Πρότασις ρ. Θεώρημα.

Τὸ ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τετάρτην.

Πρότασις ρα. Θεώρημα.

Τὸ ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν πέμπτην.

Πρότασις ρβ. Θεώρημα.

Τὸ ἀπὸ τῆς μετὰ μέσου μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν ἕκτην.

Πρότασις ργ. Θεώρημα.

Ἡ τῇ ἀποτομῇ μήκει σύμμετρος, ἀποτομή ἐστιν καὶ τῇ τάξει ἡ αὐτή.

Πρότασις ρδ. Θεώρημα.

Ἡ τῇ μέσῃ ἀποτομῇ σύμμετρος, μέση ἀποτομή ἐστιν, καὶ τῇ τάξει ἡ αὐτή.

Πρό-

plicatum rationali facit alterum latus residuum tertium.

Propositio 100. Theorema.

Quadratum lineæ minoris, applicatum rationali, facit alterum latus residuum quartum.

Propositio 101. Theorema.

Quadratum lineæ cum rationali superficie facientis totam medialem applicatum rationali facit alterum latus residuum quintum.

Propositio 102. Theorema.

Quadratum lineæ cum mediali superficie facientis totam medialem applicatum rationali facit alterum latus residuum sextum.

Propositio 103. Theorema.

Linea recta cõmensurabilis residuo longitudine, est & ipsa residuũ & eiusdem ordinis.

Propositio 104. Theorema.

Linea commensurabilis residuo mediali, est & ipsa residuum mediale, & eiusdem ordinis.

Propo-

Πρότασις ρε. θεώρημα.

Η τῇ ἐλάσσονι σύμμετρος ἐλάσσων ἐστίν.

Πρότασις ρϛ. θεώρημα.

Η τῇ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσῃ σύμμετρος, καὶ αὐτὴ μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιοῦσα ἐστίν.

Πρότασις ρζ. θεώρημα.

Η τῇ μετὰ μέσου μέσον τὸ ὅλον ποιούσῃ σύμμετρος, καὶ αὐτὴ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα ἐστίν.

Πρότασις ρη. θεώρημα.

Από ῥητοῦ μέσου ἀφαιρουμένου, ἡ τὸ λοιπὸν χωρίον δυναμένη, μία δύο ἀλόγων γίνεται, ἤτοι ἀποτομὴ ἢ ἐλάττων.

Πρότασις ρθ. θεώρημα.

Από μέσου ῥητοῦ ἀφαιρουμένου, ἄλλαι δύο ἄλογοι γίνονται, ἤτοι μέση ἀποτομὴ πρώτη, ἢ μετὰ ῥητοῦ τὸ ὅλον ποιοῦσα.

προτα-

Propositio 105. Theorema.

Linea commensurabilis lineæ minori & ipsa linea minor est.

Propositio 106. Theorema.

Linea commensurabilis lineæ cum rationali superficie facienti totam medialem, est & ipsa linea cum rationali superficie faciens totam medialem.

Propositio 107. Theorema.

Linea commensurabilis lineæ cum mediali superficie facienti totam medialem comensurabilis est, & ipsa cum mediali superficie faciens totam medialem.

Propositio 108. Theorema.

Si auferatur de superficie rationali superficies medialis, linea quæ reliquam superficiem potest est alterutrum ex duabus irrationalibus aut residuum aut linea minor.

Propositio 109. Theorema.

Si auferatur à superficie mediali rationalis superficies, aliæ duæ irrationales fiunt aut residuum mediale primum, aut cum rationale superficie faciens totam medialem.

Pro-

πρότασις ρι. Θεώρημα.

Ἀπὸ μέσου, μέσου ἀφαιρουμένου ἀσυμμέτρου τῷ ὅλῳ, αἱ λοιπαὶ δύο ἄλογοι γίνονται, ἤτοι μέση ἀποτομὴ δευτέρα, ἢ μετὰ μέσου μέσον τὸ ὅλον ποιοῦσα.

Πρότασις ρια. Θεώρημα.

Ἡ ἀποτομὴ οὐκ ἔστιν ἡ αὐτὴ τῇ ἐκ δύο ὀνομάτων.

Πρότασις ριβ. Θεώρημα.

Τὸ ἀπὸ ῥητῆς παρὰ τὴν ἐκ δύο ὀνομάτων παραβαλλόμενον, πλάτος ποιεῖ ἀποτομὴν ἧς τὰ ὀνόματα σύμμετρά ἐστι τοῖς ἐκ δύο ὀνομάτων ὀνόμασι, καὶ ἔτι τῷ αὐτῷ λόγῳ, καὶ ἔτι ἡ γινομένη ἀποτομὴ τὴν αὐτὴν ἔχει τάξιν, τῇ ἐκ δύο ὀνομάτων.

Πρότασις ριγ. Θεώρημα.

Τὸ ἀπὸ ῥητῆς παρὰ ἀποτομὴν παραβαλλόμενον πλάτος ποιεῖ, τὴν ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα, σύμμετρα τῆς ἀποτομῆς ὀνόμασι, καὶ ἐν τῷ αὐτῷ λόγῳ. ἔτι δὲ ἡ γινομένη ἐκ δύο ὀνομάτων τὴν αὐτὴν τάξιν ἔχει τῇ ἀποτομῇ.

Propositio 110. Theorema.

Si auferatur à mediali superficies medialis incommensurabilis toti: fiunt reliquæ duæ irrationales aut residuum mediale secundum aut cum mediali superficie faciens totam medialem.

Propositio 111. Theorema.

Linea quæ residuum dicitur non est eadē cum ea quæ binomium appellatur.

Propositio 112. Theorema.

Quadratum lineæ rationalis applicatum binomio, facit alterum latus residuum, cuius nomina sunt commensurabilia binomij nominibus, & ei eadem proportione: præterea id quod fit residuum eundem ordinem retinet quem binomium.

Propositio 113. Theorema.

Quadratum lineæ rationalis applicatum residuo: facit alterum latus binomium, cuius nomina sunt commensurabilia nominibus residui & in eadem proportione, præterea id quod fit binomium est eiusdem ordinis cuius & residuum.

Πρότασις ριδ. θεώρημα.

Ἐὰν χωρίον περιέχηται ὑπὸ ἀποτομῆς, καὶ τῆς ἐκ δύο ὀνομάτων, ἧς τὰ ὀνόματα σύμμετρά ἐστιν τοῖς τῆς ἀποτομῆς ὀνόμασι, καὶ ἐν τῷ αὐτῷ λόγῳ ἡ τὸ χωρίον δυναμένη ῥητή ἐστι.

Πρότασις ριε. θεώρημα.

Ἀπὸ μέσης ἄπειροι ἄλογοι γίνονται, καὶ οὐδεμία οὐδεμιᾷ τῶν πρότερων ἡ αὐτή.

Πρότασις ρις. θεώρημα.

Προκείσθω ἡμῖν δεῖξαι, ὅτι ἐπὶ τῶν τετραγώνων σχημάτων, ἀσύμμετρός ἐστιν ἡ διάμετρος τῇ πλευρᾷ μήκει.

Τέλος τοῦ δεκάτου στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΟΝ ια,

ΚΑΙ ΣΤΕΡΕΩΝ ΠΡΩΤΟΝ.

ΟΡΟΙ.

Στερεόν ἐστι τὸ μῆκος, καὶ πλάτος, καὶ βάθος ἔχον.

Στερεοῦ δὲ πέρας ἐπιφάνεια.

Εὐθεῖα

Propositio 114. Theorema.

Si superficies continetur residuo & binomio, cuius nomina sunt commensurabilia nominibus residui & in eadē proportione, linea quæ illam superficiem potest est rationalis.

Propositio 115. Theorema.

Ex linea mediali nascuntur innumerabiles lineæ irrationales, quarum nulla cum ante dictis sit eadem.

Propositio 116. Theorema.

Propositum nobis sit demonstrare in figuris quadratis diametrum esse longitudine incommensurabilem ipsi lateri.

Finis Decimi Libri.

EVCLIDIS ELEMENTORVM VNDECIMVS ET STEREOmetriæ primus.

Definitiones.

Corpus solidum est quod habet longitudinem, latitudinem, & profunditatē.

Corporis solidi extremitas est superficies.

Εὐθεῖα πρὸς ἐπίπεδον ὀρθή ἐστιν, ὅταν πρὸς πάσας τὰς ἁπτομένας αὐτῆς εὐθείας, καὶ οὔσας ἐν τῷ αὐτῷ ὑποκειμένῳ ἐπιπέδῳ, ὀρθὰς ποιῇ γωνίας.

Επίπεδον πρὸς ἐπίπεδον ὀρθόν ἐστιν, ὅταν αἱ τῇ κοινῇ τομῇ τῶν ἐπιπέδων πρὸς ὀρθὰς ἀγόμεναι εὐθεῖαι ἐν ἑνὶ τῶν ἐπιπέδων, τῷ λοιπῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσιν.

Εὐθείας πρὸς ἐπίπεδον κλίσις ἐστὶν, ὅταν ἀπὸ τοῦ μετεώρου πέρατος τῆς εὐθείας ἐπὶ τὸ ἐπίπεδον κάθετος ἀχθῇ, καὶ ἀπὸ τοῦ γενομένου σημείου, καὶ ἀπὸ τοῦ ἐν τῷ ἐπιπέδῳ πέρατος τῆς εὐθείας, εὐθεῖα ἐπιζευχθῇ, ἡ περιεχομένη ὀξεῖα γωνία ὑπὸ τῆς ἀχθείσης καὶ τῆς ἐφεστώσης.

Επιπέδου πρὸς ἐπίπεδον κλίσις ἐστὶν, ἡ περιεχομένη ὀξεῖα γωνία, ὑπὸ τῶν πρὸς ὀρθὰς τῇ κοινῇ τομῇ ἀγομένων, πρὸς τῷ αὐτῷ σημείῳ ἐν ἑκατέρῳ τῶν ἐπιπέδων.

Επίπεδον πρὸς ἐπίπεδον ὁμοίως κεκλίσθαι λέγεται, καὶ ἕτερον πρὸς ἕτερον, ὅταν αἱ εἰρημέναι τῶν κλίσεων γωνίαι ἴσαι ἀλλήλαις ὦσι.

Παράλ-

Linea recta ad planum aliquod dicetur esse erecta, quando illa linea recta ad omnes quæ eam tangunt & in eodem subiecto plano existunt rectas, fecerit angulos rectos.

Planum ad alterum planum erit erectum quando lineæ rectæ ad angulos rectos ductæ in communi planorum intersectione in altero planorum, reliquo plano ad angulos rectos fuerint.

Lineæ rectæ ad planum inclinatio erit, quando à puncto sublimi ad ipsum planum ducta fuerit lineæ rectæ perpendicularis & à puncto facto, atq; extremitate vna lineæ rectæ in plano ducatur linea recta, angulus inquam ille acutus, quem continent linea recta ducta & recta linea perpendicularis.

Plani inclinatio ad planum erit angulus acutus, quem continent lineæ rectæ ad angulos rectos ductæ in communi sectione, ad vnũ idemq; punctum in vtroq; plano.

Planum ad aliud planum similiter inclinatum esse dicitur, & aliud quoddam planum ad aliud planum: quando anguli inclinationum fuerint æquales inter se.

Παράλληλα ἐπίπεδα ἐστὶ τὰ ἀσύμπτωτα. Ὅμοια στερεὰ σχήματά ἐστὶ, τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα, ἴσων τὸ πλῆθος.

Ἴσα δὲ καὶ ὅμοια στερεὰ σχήματά ἐστὶ, τὰ ὑπὸ ὁμοίων ἐπιπέδων περιεχόμενα, ἴσων τῷ πλήθει καὶ τῷ μεγέθει.

Στερεὰ γωνία ἐστὶν, ἡ ὑπὸ πλειόνων ἢ δύο γραμμῶν ἁπτομένων ἀλλήλων, καὶ μὴ ἐν τῇ αὐτῇ ἐπιφανείᾳ οὐσῶν πρὸς πάσας τὰς γραμμὰς κλίσις.

Στερεὰ γωνία ἐστὶν, ἡ ὑπὸ πλειόνων ἢ δύο ἐπιπέδων γωνιῶν περιεχομένη, μὴ οὐσῶν ἐν τῷ αὐτῷ ἐπιπέδῳ, πρὸς ἑνὶ σημείῳ συνισταμένων.

Πυραμίς ἐστι σχῆμα στερεὸν ἐπιπέδοις περιεχόμενον ἀπὸ ἑνὸς ἐπιπέδου πρὸς ἑνὶ σημείῳ συνεστώς.

Πρίσμα ἐστὶ σχῆμα στερεῶν, ἐπιπέδοις περιεχόμενον, ὧν δύο τὰ ἀπεναντίον, ἴσα τε καὶ ὅμοια ἐστὶ, καὶ παράλληλα τὰ δὲ λοιπὰ, παραλληλόγραμμα.

Σφαῖρά ἐστιν, ὅταν ἡμικυκλίου μενούσης τῆς διαμέτρου, περιενεχθὲν τὸ ἡμικύκλιον, εἰς τὸ

αὐτὸ

Plana æquedistantia sunt, quæ nunquam concurrunt.

Figuræ solidæ similes sunt: quæ continentur planis similibus & numero æqualibus.

Æquales verò & similes figuræ solidæ sunt, quæ planis cõtinentur similibus, æqualibus numero, & magnitudine.

Angulus solidus est plurium quam duarum linearum rectarum sese mutuo tangentium, & in vno plano minime existẽtium ad omnes lineas inclinatio. Aliter.

Angulus solidus est qui plurib. quã duobus angulis planis cõtinetur, qui non in eodẽ sunt plano, & ad vnũ constituũtur punctum.

Pyramis est figura solida planis contenta, quæ constituitur ex vno plano ad vnum aliquod punctum.

Prisma est figura solida planis contenta, quorum duo opposita æqualia & similia atque æquedistantia sunt, reliqua verò parallelogramma.

Sphæra est figura solida, quæ fit quando manente semicirculi diametro ipse semicir-

αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

Ἄξων δὲ τῆς σφαίρας ἐστὶν, ἡ μένουσα εὐθεῖα, περὶ ἣν τὸ ἡμικύκλιον στρέφεται.

Κέντρον δὲ τῆς σφαίρας ἐστὶ τὸ αὐτὸ, ὃ καὶ τοῦ ἡμικυκλίου.

Διάμετρος δὲ τῆς σφαίρας ἐστὶν, εὐθεῖα τὶς διὰ τοῦ κέντρου ἠγμένη, καὶ περατουμένη ἐφ' ἑκάτερα τὰ μέρη, ὑπὸ τῆς ἐπιφανείας τῆς σφαίρας.

Κῶνος ἐστὶν, ὅταν ὀρθογωνίου τριγώνου μενούσης πλευρᾶς, τῶν περὶ τὴν ὀρθὴν γωνίαν, περιενεχθὲν τὸ τρίγωνον, εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ, ὅπεν ἤρξατο φέρεσθαι τὸ περιληφθὲν σχῆμα, κἂν ἡ μένουσα εὐθεῖα ἴση ᾖ τῇ λοιπῇ τῇ περὶ τὴν ὀρθὴν περιφερομένη ὀρθογώνιος ἔσται κῶνος, ἐὰν δὲ ἐλάττων, ἀμβλυγώνιος, ἐὰν δὲ μείζων, ὀξυγώνιος.

Ἄξων δὲ τοῦ κώνου ἐστὶν, ἡ μένουσα περὶ ἣν τὸ τρίγωνον στρέφεται.

Βάσις δὲ ὁ κύκλος ὁ ὑπὸ τῆς περιφερομένης εὐθείας γραφόμενος.

Κύλινδρος δὲ, ὅταν ὀρθογωνίου παραλλη-

λογράμ-

culus circumducitur, donec in eundem restituatur locum vnde cœperat moueri.

Axis sphæræ est linea recta fixa manens circa quam semicirculus voluitur.

Centrum verò sphæræ est illud ipsum quod & semicirculi.

Diameter sphæræ est linea recta per centrum ducta, quæ terminatur ex vtraq; parte sphæræ circumferentia.

Conus est figura solida quæ fit quando manente alicuius trianguli rectanguli latere vno ex ijs quæ angulum continent rectũ ipse triangulus circumducitur & restituitur in locum vnde cœperat moueri, quod si igitur linea recta manens fuerit æqualis, reliquo lateri circumducto & angulum rectum continenti tum conus erit rectangulus, si verò minor, amblygonius, si deniq; maior oxygonius.

Axis coni est recta illa manens circa quã voluitur triangulus.

Basis eius circulus qui describitur per lineam rectam quæ circumducitur.

Cylindrus est figura solida, quæ fit quan-

λογράμμου μενούσης μιᾶς πλευρᾶς τῶν περὶ τὴν ὀρθὴν περιενεχθὲν τὸ παραλληλόγραμμον, εἰς τὸ αὐτὸ πάλιν ἀποκατασταθῇ ὅθεν ἤρξατο φέρεσθαι, τὸ περιληφθὲν σχῆμα.

Ἄξων δὲ τοῦ κυλίνδρου ἐστὶν ἡ μένουσα εὐθεῖα περὶ ἣν τὸ παραλληλόγραμμον στρέφεται.

Βάσεις δὲ οἱ κύκλοι οἱ ὑπὸ τῶν ἀπεναντίον περιαγομένων δύο πλευρῶν γραφόμενοι.

Ὅμοιοι κῶνοι, καὶ κύλινδροι εἰσὶν ὧν οἵ τε ἄξονες, καὶ αἱ διαμέτροι τῶν βάσεων ἀνάλογον εἰσίν.

Κύβος ἐστὶ σχῆμα στερεὸν ὑπὸ ἓξ τετραγώνων ἴσων περιεχόμενον.

Τετράεδρον ἐστὶ σχῆμα ὑπὸ τεττάρων τριγώνων ἴσων, καὶ ἰσοπλεύρων περιεχόμενον.

Ὀκτάεδρον ἐστὶ σχῆμα στερεὸν ὑπὸ ὀκτὼ τριγώνων ἴσων, καὶ ἰσοπλεύρων περιεχόμενον.

Δωδεκάεδρον ἐστὶ σχῆμα στερεὸν ὑπὸ δώδεκα πενταγώνων ἴσων καὶ ἰσοπλεύρων, καὶ ἰσογωνίων περιεχόμενον.

Εἰκο-

do parallelogrammi alicuius rectanguli vno ex lateribus quæ angulum continent rectum manente, ipsum parallelogrammon circunducitur, donec in eundem restituatur locum vnde cœperat moueri.

Axis cylindri est linea recta quæ immobilis permanet, & circa quam ipsum vertitur parallelogrammon.

Basis verò circuli illi qui describuntur à duobus oppositis lateribus, quæ circumuoluuntur.

Similes coni & cylindri sunt, quorum & axes & diametri, basiũ proportionales sunt.

Cubus est figura solida sex æqualibus quadratis contenta.

Tetraedron est figura solida quæ quatuor triangulis æqualibus & æqualium laterum existentibus continetur.

Octaedron est figura solida quæ octo triangulis æqualibus, & æqualium laterum existentibus continetur.

Dodecaedron est figura solida duodecim pentagonis æqualibus & æqualium laterum & angulorum æqualium continetur.

Εἰκοσάεδρον ἐστὶ σχῆμα στερεὸν ὑπὸ εἴκοσι τριγώνων ἴσων καὶ ἰσοπλεύρων περιεχόμενον.

ΠΡΟΤΑ'ΣΕΙΣ.

Πρότασις α. θεώρημα.

Εὐθείας γραμμῆς μέρος μέν τοι οὐκ ἐστὶν ἐν τῷ ὑποκειμένῳ ἐπιπέδῳ, μέρος δέ τι ἐν τῷ μετεώρῳ.

Πρότασις β. θεώρημα.

Ἐὰν δύο εὐθεῖαι τέμνωσιν ἀλλήλας, ἐν ἑνί εἰσιν ἐπιπέδῳ, καὶ πᾶν τρίγωνον ἐν ἑνί ἐστι ἐπιπέδῳ.

Πρότασις γ. θεώρημα.

Ἐὰν δύο ἐπίπεδα τέμνῃ ἄλληλα, ἡ κοινὴ αὐτῶν τομὴ εὐθεῖά ἐστι.

Πρότασις δ. θεώρημα.

Ἐὰν εὐθεῖα δύο εὐθείαις τεμνούσαις ἀλλήλας πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, καὶ τῷ δι' αὐτῶν ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Πρότασις ε. πρόβλημα.

Ἐὰν εὐθεῖα τρισὶν ταῖς εὐθείαις ἁπτομέναις ἀλλήλων πρὸς ὀρθὰς ἐπὶ τῆς κοινῆς τομῆς ἐπισταθῇ, αἱ τρεῖς εὐθεῖαι ἐν ἑνί εἰσιν ἐπιπέδῳ.

Πρό-

Ecosaedron est figura solida quæ viginti triangulis æqualibus & æqualium laterum continetur.

Propositiones.

Propositio 1. Theorema.

Pars alicuius lineæ non erit in plano subiecto & eiusdem alia pars in sublimi.

Propositio 2. Theorema.

Si duæ rectæ lineæ sese secant erunt illæ in eodem plano, & omnis triangulus in vno est plano.

Propositio 3. Theorema.

Si duo plana sese mutuo secant communis illorum sectio est linea recta.

Propositio 4. Theorema.

Si recta linea duabus rectis sese mutuò secantibus fuerit ad angulos rectos ducta, et ad communem intersectionem cõstituta: erit etiam ei plano ad angulos rectos cõstituta, quod per ipsos ducitur.

Propositio 5. Theorema.

Si recta linea tribus rectis sese mutuo tangentibus ad angulos rectos in communi sectione fuerit constituta: illæ tres lineæ rectæ in vno eodemq; sunt plano.

Propo-

Πρότασις ς. Θεώρημα.

Εαν δύο εὐθεῖαι ἐν τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ὦσι, παράλληλοι ἔσονται αἱ εὐθεῖαι.

Πρότασις ζ. Θεώρημα.

Εαν ὦσι δύο εὐθεῖαι παράλληλοι ληφθῆ δὲ ἐφ' ἑκατέρας αὐτῶν τυχόντα σημεῖα: ἡ ἐπὶ τὰ σημεῖα ἐπιζευγνυμένη εὐθεῖα, ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἐςὶ ταῖς παραλλήλοις.

Πρότασις η. Θεώρημα.

Εαν ὦσι δύο εὐθεῖαι παράλληλοι, ἡ δ' ἑτέρα αὐτῶν ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ἦ, καὶ ἡ λοιπὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔςαι.

Πρότασις θ. Θεώρημα.

Αἱ τῆ αὐτῆ εὐθεία παράλληλοι, καὶ μὴ οὖσαι αὐτῆ ἐν τῷ αὐτῷ ἐπιπέδῳ: καὶ ἀλλήλαις εἰσὶ παράλληλοι.

Πρότασις ι. Θεώρημα.

Εαν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων, παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι, μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσι.

Πρό-

Propositio 6. Theorema.

Si duæ lineæ rectæ in eodem plano ad angulos rectos fuerint constitutæ: illæ rectæ æquedistantes inter se erunt.

Propositio 7. Theorema.

Si fuerint duæ lineæ rectæ æquedistantes: sumantur autem in vtraq; illarum quæuis puncta: recta quæ duo ista puncta coniungit in eodem plano est cũ lineis æquedistantibus.

Propositio 8. Theorema.

Si duæ lineæ rectæ æquedistantes fuerint, & altera illarum, alicui plano ad angulos rectos fuerit: etiam reliqua eidem plano ad angulos rectos erit.

Propositio 9. Theorema.

Quæ eidem lineæ rectæ æquedistantes sunt, & non fuerint cum ipsa in eodem plano: etiã inter se æquedistantes erunt.

Propositio 10. Theorema.

Si duæ lineæ rectæ sese mutuò tangentes fuerint positæ ad duas lineas sese mutuò tangentes non in eodem plano: æquales continebunt angulos.

Pro-

Πρότασις ια. πρόβλημα.

Ἀπὸ τοῦ δοθέντος σημείου μετεώρου ἐπὶ τὸ ὑποκείμενον ἐπίπεδον, κάθετον εὐθεῖαν γραμμὴν ἀγαγεῖν.

Πρότασις ιβ. πρόβλημα.

Τῷ δοθέντι ἐπιπέδῳ, ἀπὸ τοῦ πρὸς αὐτῷ δοθέντος σημείου, πρὸς ὀρθὰς εὐθεῖαν γραμμὴν ἀναστῆσαι.

Πρότασις ιγ. πρόβλημα.

Τῷ δοθέντι ἐπιπέδῳ, ἀπὸ τοῦ πρὸς αὐτῷ σημείου, * δύο εὐθεῖαι πρὸς ὀρθὰς οὐκ ἀναστήσονται ἐπὶ τὰ αὐτὰ μέρη.

* Aliter, ἀπὸ τοῦ αὐτοῦ σημείου τῷ αὐτῷ ἐπιπέδῳ.

Πρότασις ιδ. Θεώρημα.

Πρὸς ἃ ἐπίπεδα ἡ αὐτὴ εὐθεῖα ὀρθή ἐστι, παράλληλα ἐστὶ τὰ ἐπίπεδα.

Πρότασις ιε. θεώρημα.

Ἐὰν δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων, περὶ δύο εὐθείας ἁπτομένας ἀλλήλων ὦσι, μὴ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι, παράλληλά ἐστι τὰ δι᾽ αὐτῶν ἐπίπεδα.

Πρότασις ιϛ. θεώρημα.

Ἐὰν δύο ἐπίπεδα παράλληλα ὑπὸ ἐπιπέδου

Propositio 11. problema.

A dato puncto in sublimi existente ad subiectum planum perpendicularem lineam rectam ducere.

Propositio 12. Problema.

Dato plano à puncto quod in eo est lineam rectam ad angulos rectos ductam erigere.

Propositio 13. problema.

Dato plano à puncto quod in eo est * duæ rectæ lineæ ad angulos rectos nõ erigentur in easdem partes.

* Aliter ab eodem puncto eidem plano.

Propositio 14. Theorema.

Ad quæcunq; plana eadem linea recta, est recta seu ad angulos rectos ducta: ea plana inter se æquedistantia sunt.

Propositio 15. Theorema.

Si duæ rectæ sese mutuò tangentes, fuerint ad duas alias sese mutuo tangentes, non fuerint etiam in eodem plano, plana quæ per ipsa ducuntur sunt æquedistantia.

Propositio 16. Theorema.

Si duo plana æquedistantia aliud quoddã

πέδου τινὸς τέμνηται, αἱ κοιναὶ αὐτῶν τομαὶ παράλληλοι εἰσί.

Πρότασις ιζ. Θεώρημα.

Εαν δύο ευθεῖαι ὑπὸ παραλλήλων ἐπιπέδων τέμνωνται, εἰς τοὺς αὐτοὺς λόγους τμηθήσονται.

Πρότασις ιη. Θεώρημα.

Εαν ευθεῖα ἐπιπέδῳ τινι πρὸς ὀρθὰς ᾖ, καὶ πάντα τὰ δι᾽ αὐτῆς ἐπίπεδα τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Πρότασις ιθ. Θεώρημα.

Εαν δύο ἐπίπεδα τέμνοντα ἄλληλα ἐπιπέδῳ τινὶ πρὸς ὀρθὰς ᾖ, καὶ ἡ κοινὴ αὐτῶν τομὴ τῷ αὐτῷ ἐπιπέδῳ πρὸς ὀρθὰς ἔσται.

Πρότασις κ. Θεώρημα.

Εαν στερεὰ γωνία, ὑπὸ τριῶν γωνιῶν ἐπιπέδων περιέχηται δύο ὁποιαιοῦν τῆς λοιπῆς μείζονες εἰσὶ πάντη μεταλαμβανόμεναι.

Πρότασις κα. Θεώρημα.

Απασα στερεὰ γωνία ὑπὸ ἐλασσόνων ἢ τεσσάρων ὀρθῶν γωνιῶν ἐπιπέδων περιέχεται.

Πρότασις κβ. Θεώρημα.

Εαν

planum secet: communes eorum sectiones æquedistantes sunt.

Propositio 17. Theorema.

Si duas rectas secant duo plana æquedistantia in easdem illas secabunt rationes.

Propositio 18. Theorema.

Si recta quædam cuidam plano fuerit ad angulos rectos constituta: etiam omnia plana quæ per ipsa ducuntur, eidem plano ad angulos rectos erunt.

Propositio 19. Theorema.

Si duo plana sese mutuò secantia cuidam plano fuerint ad angulos rectos constituta: etiam communis illorum sectio, eidem plano, ad angulos rectos erit constituta.

Propositio 20. Theorema.

Si angulus solidus tribus angulis planis continetur, duo ex illis quicunque fuerint, maiores sunt reliquo, quocunque sumantur modo.

Propositio 21. Theorema.

Omnis angulus solidus, continetur paucioribus quã quatuor planis, ijsq; rectis angulis.

Propositio 22. problema.

Ἐὰν ὦσι τρεῖς γωνίαι ἐπίπεδοι ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντη μεταλαμβανόμεναι, περιέχωσι δὲ αὐτὰς ἴσαι εὐθεῖαι· δυνατόν ἐστιν ἐκ τῶν ἐπιζευγνυουσῶν τὰς ἴσας εὐθείας τρίγωνον συστήσασθαι.

Πρότασις κγ΄. πρόβλημα.

Ἐκ τριῶν γωνιῶν ἐπιπέδων, ὧν αἱ δύο τῆς λοιπῆς μείζονές εἰσι πάντη μεταλαμβανόμεναι στερεὰν γωνίαν συστήσασθαι: δεῖ δὴ τὰς τρεῖς τεσσάρων ὀρθῶν ἐλάσσονας εἶναι.

Πρότασις κδ΄. θεώρημα.

Ἐὰν στερεὸν ὑπὸ παραλλήλων ἐπιπέδων περιέχηται, τὰ ἀπεναντίον αὐτοῦ ἐπίπεδα, ἴσα τε καὶ παραλληλόγραμμά ἐστι.

Πρότασις κε΄. θεώρημα.

Ἐὰν στερεὸν παραλληλεπίπεδον ἐπιπέδῳ τμηθῇ παραλλήλῳ ὄντι τοῖς ἀπ᾽ ἐναντίον ἐπιπέδοις, ἔσται ὡς ἡ βάσις πρὸς τὴν βάσιν, οὕτω τὸ στερεὸν πρὸς τὸ στερεόν.

Πρότασις κϛ΄. θεώρημα.

Πρὸς τῇ δοθείσῃ εὐθείᾳ, καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῇ δοθείσῃ στερεᾷ γωνίᾳ, ἴσην στερεὰν γωνίαν συστήσασθαι.

πρό-

Si fuerint tres anguli plani, quorum duo maiores sunt reliquo, quouis modo sumpti: eosq; contineant rectæ æquales: constitui potest triangulus ex rectis, quæ illas rectas æquales coniungunt.

Propositio 23. problema.

Ex tribus angulis planis, quorũ duo maiores sunt reliquo, quocunq; sumantur modo, angulum solidum constituere, oportet verò illos tres, quatuor rectis minores esse.

Propositio 24. Theorema.

Si solidum aliquod continetur planis æquedistantibus: plana opposita huic solido æqualia & parallelogramma sunt.

Propositio 25. Theorema.

Si solidum parallelepipedon plano secetur quod æquedistat planis oppositis: erit vt basis ab basin, sic solidum ad solidum.

Propositio 26. Problema.

Ad datã rectam & ad datum in ea punctum dato angulo solido, æqualem angulum solidum constituere.

Propositio 27. Problema.

Πρότασις κζ. πρόβλημα.

Ἀπὸ τῆς δοθείσης εὐθείας, τῷ δοθέντι στερεῷ παραλληλεπιπέδῳ, ὅμοιόν τε καὶ ὁμοίως κείμενον στερεὸν παραλληλεπίπεδον ἀναγράψαι.

Πρότασις κη. Θεώρημα.

Ἐὰν στερεὸν παραλληλεπίπεδον, ἐπιπέδῳ τμηθῇ, κατὰ τὰς διαγωνίους τῶν ἀπ' ἐναντίον ἐπιπέδων, δίχα τμηθήσεται τὸ στερεὸν ὑπὸ τοῦ ἐπιπέδου.

Πρότασις κθ. Θεώρημα.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ὧν αἱ ἐφεστῶσαι ἐπὶ τῶν αὐτῶν εἰσὶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστίν.

Πρότασις λ. Θεώρημα.

Τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα στερεὰ παραλληλεπίπεδα, καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ὧν αἱ ὑφεστῶσαι οὐκ εἰσὶν ἐπὶ τῶν αὐτῶν εὐθειῶν, ἴσα ἀλλήλοις ἐστί.

πρότασις λα. θεώρημα.

Τὰ ἐπὶ ἴσων βάσεων ὄντα στερεὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος, ἴσα ἀλλήλοις ἐστίν.

A data linea recta dato solido parallelepipedo simile & similiter positum solidum parallelepipedon describere.

Propositio 28. Theorema.

Si solidum parallelepipedon plano aliquo secetur, tum & illud ipsum solidum secabitur in duas æquales partes à plano per lineas diagonales eorum planorum quæ opposita sunt.

Propositio 29. Theorema.

Solida parallelepipeda quæ super eadem basi sunt constituta: & sub eadem altitudine, quorum lineæ erectæ vel cõstitutæ in eisdem sunt lineis rectis: illa inter se sunt æqualia.

Propositio 30. Theorema.

Solida parallelepipeda super eadem basi constituta, & sub eadem altitudine, quorum lineæ constitutæ, non sunt in eisdem lineis rectis, æqualia inter se sunt.

Propositio 31. Theorema.

Solida parallelepipeda super basibus æqualibus constituta, & sub eadem altitudine illa sunt æqualia inter se.

Πρότασις λβ. θεώρημα.

Τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐστὶν ὡς αἱ βάσεις.

Πρότασις λγ. θεώρημα.

Τὰ ὅμοια στερεὰ παραλληλεπίπεδα πρὸς ἄλληλα ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

Πρότασις λδ. θεώρημα.

Τῶν ἴσων στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι: Καὶ ὧν στερεῶν παραλληλεπιπέδων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσα ἐστὶν ἐκεῖνα.

Πρότασις λε. θεώρημα.

Εαν ὦσι δύο γωνίαι ἐπίπεδοι ἴσαι, ἐπὶ δὲ τῶν κορυφῶν αὐτῶν μετέωροι εὐθεῖαι ἐπισταθῶσιν, ἴσας γωνίας περιέχουσαι, μετὰ τῶν ἐξ ἀρχῆς εὐθειῶν ἑκάτεραν ἑκατέρα, ἐπὶ δὲ τῶν μετεώρων ληφθῇ τυχόντα σημεῖα, καὶ ἀπ' αὐτῶν ἐπὶ τὰ ἐπίπεδα ἐν οἷς εἰσιν αἱ ἐξ ἀρχῆς γωνίαι κάθετοι ἀχθῶσιν ἀπὸ δὲ τῶν γενομένων σημείων ὑπὸ τῶν καθέτων ἐπὶ τοῖς ἐπιπέδοις, ἐπὶ τῆς ἐξ ἀρχῆς γωνίας ἐπιζευχθῶ-

Propositio 32. Theorema.

Solida parallelepipeda sub eadem altitudine constituta: sese habent vt ipsæ bases.

Propositio 33. Theorema.

Similia solida parallelepipeda sese habent in ratione homologorum laterum triplicata.

Propositio 34. Theorema.

Æqualium solidorum parallelepipedorũ reciprocæ sunt bases altitudinibus. Et quorum solidorum parallelepipedorum reciprocæ sunt bases altitudinibus illa æqualia inter se sunt.

Propositio 35. Theorema.

Si fuerint duo anguli plani æquales, & in illorum verticibus sublimes constituantur lineæ rectæ, continentes cum lineis ab initio propositis angulos æquales alterum alteri: & in lineis sublimioribus sumantur quæuis puncta, à quibus ad plana, in quibus sunt anguli ab initio positi, ducantur perpendiculares: deniq; à iam factis punctis per ipsas perpendiculares in planis ad angulos, ab initio propositos ductæ fuerint lineæ rectæ: illæ cum

χθῶσιν εὐθεῖαι, ἴσας γωνίας περιέξουσι μετὰ τῶν μετεώρων.

Πρότασις λς. Θεώρημα.

Εὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσι, τὸ ἐκ τῶν τριῶν στερεῶν παραλληλεπίπεδον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης στερεῷ παραλληλεπιπέδῳ ἰσοπλεύρῳ μὲν ἰσογωνίῳ δὲ τῷ προειρημένῳ.

Πρότασις λζ. Θεώρημα.

Εὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσι, καὶ τὰ ἀπ' αὐτῶν παραλληλεπίπεδα, ὅμοιά τε καὶ ὁμοίως ἀναγραφόμενα ἀνάλογον ἔσται, καὶ ἐὰν τὰ ἀπ' αὐτῶν στερεὰ παραλληλεπίπεδα ὅμοιά τε, καὶ ὁμοίως ἀναγραφόμενα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.

Πρότασις λη. Θεώρημα.

Εὰν ἄρα ἐπίπεδον πρὸς ἐπίπεδον ὀρθὸν ᾖ, καὶ ἀπό τινος σημείου τῶν ἐν ἑνὶ τῶν ἐπιπέδων ἐπὶ τὸ ἕτερον ἐπίπεδον κάθετος ἀχθῇ, ἐπὶ τῆς κοινῆς τομῆς πεσεῖται τῶν ἐπιπέδων ἡ ἀγομένη κάθετος.

Πρότασις λθ Θεώρημα.

Εὰν στερεοῦ παραλληλεπιπέδου τῶν ἀπ-

ἐναν-

lineis sublimioribus æquales angulos continent.

Propositio 36. Theorema.

Si tres lineæ rectæ fuerint proportionales solidum parallelepipedon quod ex illis tribus rectis fit, est æquale solido parallelepipedo æquilatero quod describitur à linea media & æquales angulos habenti cum præcedente.

Propositio 37. Theorema.

Si quatuor rectæ proportionales fuerint, etiam parallelepipeda similia & similiter descripta proportionalia erunt. & si solida parallelepipeda similia & similiter descripta proportionalia fuerint, etiam ipsæ lineæ rectæ proportionales erunt.

Propositio 38. Theorema.

Si planum aliquod ad aliud planum fuerit erectum, & à puncto aliquo quod in altero planorum est ad alterum planum ducatur perpendicularis: illa cadet in communem planorum sectionem.

Propositio 39. Theorema.

Si solidi parallelepipedi latera planorum opposi-

ἐναντίον ἐπιπέδων αἱ πλευραὶ δίχα τμηθῶσι, διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβληθῇ, ἡ κοινὴ τομὴ τῶν ἐπιπέδων, καὶ ἡ τοῦ στερεοῦ παραλληλεπιπέδου διάμετρος δίχα τέμνουσιν ἀλλήλας.

Πρότασις μ. θεώρημα.

Εὰν ᾖ δύο πρίσματα ἰσοϋψῆ, καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον, τὸ δὲ τρίγωνον διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου, ἴσα ἔσται τὰ πρίσματα.

Τέλος τοῦ ια στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ιβ. καὶ στερεῶν β.

Πρότασις α. Θεώρημα.

ΤΑ ἐν τοῖς κύκλοις ὅμοια πολύγωνα πρὸς ἄλληλα ἐστὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

πρότασις β. θεώρημα.

Οἱ κύκλοι πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ἀπὸ τῶν διαμέτρων τετράγωνα.

Πρότα-

oppositorum fuerint secta in duas partes æquales: & per ipsas sectiones ducantur plana: communis planorum sectio, & diameter solidi parallelepipedi sese mutuò secant in duas partes æquales.

Propositio 40. Theorema.

Si fuerint duo prismata eiusdem altitudinis, quorum alterum basin habeat parallelogrammon: alterum verò triangulum atq; parallelogrammon sit trianguli duplum: illa duo prismata æqualia sunt.

Finis Libri Vndecimi.

EVCLIDIS LIBER DVODECIMVS ELEMENTORVM ET Stereometriæ primus.

Propositio 1. Theorema.

POlygona similia quæ in circulis sunt ad sese mutuò habent, vt quadrata quæ à diametris describuntur.

Propositio 2. Theorema.

Circuli ita sese mutuò habent, vt quadrata quæ à diametris describuntur.

πρότασις γ. θεώρημα.

Πᾶσα πύραμις τρίγωνον ἔχουσα βάσιν, διαιρεῖται εἰς δύο πυραμίδας ἴσας τε καὶ ὁμοίας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας, καὶ ὁμοίως τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τὰ δύο πρίσματα μείζονά ἐστιν ἢ τὸ ἥμισυ τῆς ὅλης πυραμίδος.

Πρότασις δ. θεώρημα.

Ἐὰν ὦσι δύο πυραμίδες ὑπὸ τὸ αὐτὸ ὕψος τριγώνους ἔχουσαι βάσεις: διαιρεθῇ δὲ ἑκατέρα αὐτῶν εἰς τε δύο πυραμίδας ἴσας ἀλλήλαις, καὶ ὁμοίας τῇ ὅλῃ, καὶ εἰς δύο πρίσματα ἴσα, καὶ τῶν γενομένων πυραμίδων ἑκατέρα τὸν αὐτὸν τρόπον, καὶ τοῦτο ἀεὶ γίνηται, ἐστὶν ὡς ἡ τῆς μιᾶς πυραμίδος βάσις, πρὸς τὴν τῆς ἑτέρας πυραμίδος βάσιν: οὕτως καὶ τὰ ἐν τῇ μιᾷ πυραμίδι πρίσματα πάντα, πρὸς τὰ ἐν τῇ ἑτέρᾳ πυραμίδι πρίσματα πάντα ἰσοπληθῆ.

Πρότασις ε. θεώρημα.

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις, πρὸς ἀλλήλας εἰσὶν, ὡς αἱ βάσεις.

Πρότασις ς. θεώρημα.

Propositio 3. Theorema.

Omnis pyramis quæ basin habet triangularem diuiditur in duas pyramides æquales, & similes inter se habentes bases triangulares, & similiter toti: atq; duo prismata æqualia, & duo illa prismata maiora sunt quàm dimidium totius pyramidis.

Propositio 4. Theorema.

Si fuerint duæ pyramides eiusdem altitudinis, habentes bases triangulares, vtraq; diuidetur in duas pyramides æquales inter se, & similes toti atq; duo prismata æqualia, & ex iam factis pyramidibus vtraq; eodem modo diuidatur, & illud semper fiat: erit vt vnius pyramidis basis ad alterius pyramidis basin, sic omnia prismata quæ in vna pyramide sunt ad omnia prismata æqualia numero alterius pyramidis.

Propositio 5. Theorema.

Pyramides quæ eiusdem sunt altitudinis & bases habent triangulares, ita se habent vt bases.

Propositio 6. Theorema.

Pyra-

Αἱ ὑπὸ τὸ αὐτὸ ὕψος οὖσαι πυραμίδες, καὶ πολυγώνους ἔχουσαι βάσεις πρὸς ἀλλήλας εἰσὶν ὡς αἱ βάσεις.

Πρότασις ζ. θεώρημα.

Πᾶν πρίσμα τρίγωνον ἔχον βάσιν, διαιρεῖται εἰς τρεῖς πυραμίδας ἴσας ἀλλήλαις τριγώνους βάσεις ἐχούσας.

Πρότασις η. πρόβλημα.

Αἱ ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις, ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν.

Πρότασις θ. θεώρημα.

Τῶν ἴσων πυραμίδων, καὶ τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν, αἱ βάσεις τοῖς ὕψεσι: καὶ ὧν πυραμίδων τριγώνους βάσεις ἐχουσῶν ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν, ἴσαι εἰσὶν ἐκεῖναι.

Πρότασις ι. Θεώρημα.

Πᾶς κῶνος κυλίνδρου τρίτον μέρος ἐστὶ τοῦ τὴν αὐτὴν βάσιν ἔχοντος αὐτῷ, καὶ ὕψος ἴσον.

Πρότασις ια. Θεώρημα.

Οἱ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντες κῶνοι καὶ κύλινδροι, πρὸς ἀλλήλους εἰσὶν, ὡς αἱ βάσεις.

Pyramides quæ eiusdē sunt altitudinis et polygonas habēt bases, ita se habēt ut bases.

Propositio 7. Theorema.

Omne prisma triangularem habens basin diuiditur in tres pyramides inter se æquales, habentes bases triangulares.

Propositio 8. Theorema.

Pyramides similes & triangulares bases habentes, proportionem laterum homologorum habent triplicatam.

Propositio 9. Theorema.

Pyramidum æqualium, & triangulares bases habentium, reciprocæ sunt bases altitudinibus, & quorum pyramidum triangulares bases habentium reciprocæ sunt bases ipsis altitudinibus, illæ sunt æquales.

Propositio 10. Theorema.

Omnis conus, tertia cylindri pars est eius, nempe cum quo eandem basin habet & altitudinem æqualem.

Propositio 11. Theorema.

Coni & Cylindri qui sub eadem sunt altitudine, sese mutuò habent, ut ipsæ bases.

Πρότασις ιβ. θεώρημα.

Οἱ ὅμοιοι κῶνοι, καὶ κύλινδροι ἐν τριπλασίονι λόγῳ εἰσὶν τῶν ἐν ταῖς βάσεσι διαμέτρων.

Πρότασις ιγ. θεώρημα.

Ἐὰν κύλινδρος ἐπιπέδῳ τμηθῇ παραλλήλῳ, ὄντι τοῖς ἀπ' ἐναντίον ἐπιπέδοις, ἔσται ὡς ὁ κύλινδρος πρὸς τὸν κύλινδρον ὁ ἄξων πρὸς τὸν ἄξονα.

Πρότασις ιδ. θεώρημα.

Οἱ ἐπὶ ἴσων βάσεων ὄντες κῶνοι καὶ κύλινδροι, πρὸς ἀλλήλους εἰσὶν ὡς τὰ ὕψη.

Πρότασις ιε. Θεώρημα.

Τῶν ἴσων κώνων καὶ κυλίνδρων, ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσι, καὶ ὧν κώνων, καὶ κυλίνδρων ἀντιπεπόνθασιν αἱ βάσεις τοῖς ὕψεσιν ἴσοι εἰσὶν ἐκεῖνοι.

Πρότασις ις. πρόβλημα.

Δύο κύκλων περὶ τὸ αὐτὸ κέντρον ὄντων εἰς τὸν μείζονα κύκλον πολύγωνον ἰσόπλευρόν τε καὶ ἀρτιόπλευρον ἐγγράψαι, μὴ ψαῦον τοῦ ἐλάσσονος κύκλου

Πρότασις ιζ. πρόβλημα.

Δύο σφαιρῶν περὶ τὸ αὐτὸ κέντρον οὐσῶν

εἰς τὴν

Propositio 12. Theorema.

Similes coni, & cylindri triplicatam habent diametrorũ quæ in basibus sunt rationẽ.

Propositio 13. Theorema.

Si cylindrus plano fuerit sectus æquedistanti planis oppositis, erit vt cylindrus ad cylindrum, ita axis ad axem.

Propositio 14. Theorema.

Coni & Cylindri habentes bases æquales sese mutuò habent vt altitudines.

Propositio 15. Theorema.

Æqualium conorum & cylindrorum reciprocæ sunt bases altitudinibus, & quorum conorum atq; cylindrorum reciprocæ sunt bases altitudinibus illi æquales sunt.

Propositio 16. problema.

Datis duobus circulis qui æque eodem centro descripti sunt, in maiorem circulum polygonon æquilaterum & parium laterum inscribere, quod minorem circulum nõ tangat.

Propositio 17. problema.

Datis duabus sphæris ex vno eodemq; centro descriptis in sphæram maiorem inscribere

εἰς τὴν μείζονα σφαῖραν στερεὸν πολύγωνον ἐγγράψαι, μὴ ψαῦον τῆς ἐλάσσονος σφαίρας κατὰ τὴν ἐπιφάνειαν.

Πρότασις ιη. θεώρημα.

Αἱ σφαῖραι πρὸς ἀλλήλας ἐν τριπλασίονι λόγῳ εἰσὶ τῶν ἰδίων διαμέτρων.

Τέλος τοῦ ιβ στοιχείου.

ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ ιγ, καὶ στερεῶν τρίτον.

Πρότασις α. θεώρημα.

Ἐὰν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, τὸ μεῖζον τμῆμα προσλαβὸν τὴν ἡμίσειαν τῆς ὅλης πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τῆς ὅλης.

Πρότασις β. πρόβλημα.

Ἐὰν εὐθεῖα γραμμὴ τμήματος ἑαυτῆς πενταπλάσιον δύνηται τῆς διπλασίας τοῦ εἰρημένου τμήματος, ἄκρον καὶ μέσον λόγον τεμνομένης, τὸ μεῖζον τμῆμα τὸ λοιπὸν μέρος ἐστὶ τῆς ἐξ ἀρχῆς εὐθείας.

Πρότα-

polygonon quod ſuperficiem minoris ſphæræ non tangat.

Propoſitio 18. Theorema.

Sphæræ ſuorum diametrorum rationem habent triplicatam.

Finis Duodecimi Libri.

EVCLIDIS LIBER DECIMVS TERTIVS ET STEREOMEtriæ tertius.

Propoſitio 1. Theorema.

SI recta linea ſecta fuerit extrema & media ratione, maius ſegmẽtum dimidiam aſſumens totius partem quintuplo plus poteſt quam quadratum quod à dimidio totius ſegmento deſcribitur.

Propoſitio 2. Theorema.

Si recta linea quintuplo plus poteſt ſui ipſius ſegmenti quã duplum iam dicti ſegmenti diuiſi extrema & media ratione: maius ſegmentum erit reliqua pars ab initio propoſitæ lineæ rectæ.

προτάσις γ. θεώρημα.

Εαν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ, τὸ ἔλασσον τμῆμα προσλαβὸν τὴν ἡμισείαν τοῦ μείζονος τμήματος πενταπλάσιον δύναται τοῦ ἀπὸ τῆς ἡμισείας τοῦ μείζονος τετραγώνου.

προτάσις δ. θεώρημα.

Εαν εὐθεῖα γραμμὴ ἄκρον καὶ μέσον λόγον τμηθῇ τὸ ἀπὸ τῆς ὅλης, καὶ τοῦ ἐλάττονος τμήματος τὰ συναμφότερα τετράγωνα, τριπλάσια ἐστὶ τοῦ ἀπὸ τοῦ μείζονος τμήματος τετραγώνου.

Προτάσις ε. θεώρημα.

Εαν εὐθεῖα γραμμὴ, ἄκρον καὶ μέσον λόγον τμηθῇ, καὶ προστεθῇ, ἴση τῷ μείζονι τμήματι, ὅλη ἡ εὐθεῖα, ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον τμῆμα ἐστὶν ἡ ἐξ ἀρχῆς εὐθεῖα.

προτάσις ς. θεώρημα.

Εαν εὐθεῖα ῥητὴ, ἄκρον καὶ μέσον λόγον τμηθῇ, ἑκάτερον τῶν τμημάτων, ἄλογος ἐστὶν ἡ καλουμένη ἀποτομή.

προτάσις ζ. θεώρημα.

Εαν

Propositio 3. Theorema.

Si recta linea extrema & media ratione secetur, minus segmentum verò assumat dimidium maioris segmenti quintuplo plus potest quam quadratum quod à maioris segmenti dimidio describitur.

Propositio 4. Theorema.

Si recta linea extrema & media ratione fuerit secta, quadratum à tota descriptum, et à minore segmento illa duo quadrata tripla sunt quadrati à maiore segmento descripti.

Propositio 5. Theorema.

Si recta linea extrema & media ratione secetur, eiq; apponatur recta maiori segmento æqualis: tota illa recta extrema & media ratione secta erit, & segmentum maius est linea recta ab initio proposita.

Propositio 6. Theorema.

Si recta rationalis extrema & media ratione secetur, vtraq; segmentum irrationale est, quod vocatur residuum.

Propositio 7. Theorema.

Ἐὰν πενταγώνου ἰσοπλεύρου αἱ τρεῖς γωνίαι ἤτοι αἱ κατὰ τὸ ἑξῆς, ἢ αἱ μὴ κατὰ τὸ ἑξῆς ἴσαι ὦσιν, ἰσογώνιον ἔσται τὸ πεντάγωνον.

Πρότασις η. Θεώρημα.

Ἐὰν πενταγώνου ἰσοπλεύρου καὶ ἰσογωνίου τὰς κατὰ τὸ ἑξῆς δύο γωνίας ὑποτείνωσιν εὐθεῖαι, ἄκρον καὶ μέσον λόγον τέμνουσιν ἀλλήλας, καὶ τὰ μείζονα αὐτῶν τμήματα ἴσα ἐστὶ, τῇ τοῦ πενταγώνου πλευρᾷ.

Πρότασις θ. Θεώρημα.

Ἐὰν ἡ τοῦ ἑξαγώνου πλευρὰ, καὶ ἡ τοῦ δεκαγώνου, εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων συντεθῶσιν, ἡ ὅλη εὐθεῖα, ἄκρον καὶ μέσον λόγον τέτμηται, καὶ τὸ μεῖζον αὐτῆς τμῆμα ἐστὶν ἡ τοῦ ἑξαγώνου πλευρά.

Πρότασις ι. Θεώρημα.

Ἐὰν εἰς κύκλον πεντάγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ πενταγώνου πλευρὰ δύναται, τήν τε τοῦ ἑξαγώνου, καὶ τὴν τοῦ δεκαγώνου, τῶν εἰς τὸν αὐτὸν κύκλον ἐγγραφομένων.

Πρότασις ια. Θεώρημα.

Ἐὰν εἰς κύκλον ῥητὴν ἔχοντα τὴν διάμετρον πεντάγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ

πεν-

Si alicuius pentagoni tres anguli siue contigui sint, siue non contigui: fuerint inter se æquales, tum illud pentagonū æqualium erit angulorum.

Propositio 8. Theorema.

Si pentagoni alicuius quod latera habet æqualia, & angulos æquales, angulos duos cōtiguos subtendant rectæ: illæ extrema & media ratione sese secant, & maiora illorum segmenta, sunt æqualia lateri ipsius pentagoni.

Propositio 9. Theorema.

Si hexagoni & decagoni in eundem circuli inscriptorum latera componantur: tota linea recta erit extrema & media ratione secta & maius segmentum est latus hexagoni.

Propositio 10. Theorema.

Si in circulum pentagonon æquilaterum inscribatur, tum pentagoni latus potest latus hexagoni & decagoni quæ in eundem inscripta sunt circulum.

Propositio 11. Theorema.

Si in circulum qui diametron habet rationalem inscribatur pentagonon æquilaterum

πενταγώνου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάσσων.

Πρότασις ιβ. θεώρημα.

Ἐὰν εἰς κύκλον τρίγωνον ἰσόπλευρον ἐγγραφῇ, ἡ τοῦ τριγώνου πλευρὰ δυνάμει τριπλασίων ἐστὶ τῆς ἐκ τοῦ κέντρου τοῦ κύκλου.

Πρότασις ιγ. πρόβλημα.

Πυραμίδα συστήσασθαι, καὶ σφαίρᾳ περιλαβεῖν τῇ δοθείσῃ: καὶ δεῖξαι ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει ἡμιολία ἐστὶ τῆς πλευρᾶς τῆς πυραμίδος.

Πρότασις ιδ. πρόβλημα.

Ὀκτάεδρον συστήσασθαι, καὶ σφαίρᾳ περιλαβεῖν, ᾗ καὶ τὴν πυραμίδα, καὶ δεῖξαι ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει διπλασία ἐστὶ τῆς πλευρᾶς τοῦ ὀκταέδρου.

Πρότασις ιε. πρόβλημα.

Κύβον συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν ᾗ καὶ τὰ πρότερα, καὶ δεῖξαι ὅτι ἡ τῆς σφαίρας διάμετρος δυνάμει τριπλῆ ἐστὶ τῆς τοῦ κύβου πλευρᾶς.

Πρότασις ις. πρόβλημα.

Εἰκοσάεδρον συστήσασθαι, καὶ σφαίρᾳ περι-

tum pentagoni latus irrationale est, vocatur minor.

Propositio 12. Theorema.

Si in circulum inscribatur triangulus æquilaterus tum trianguli latus potentia triplum est lineæ ex centro circuli ductæ.

Propositio 13. problema.

Pyramidem constituere & sphæra datæ includere, atq; demonstrare quod diameter sphæræ potentia sesquialtera est lateris ipsius pyramidis.

Propositio 14. problema.

Octaedron constituere & sphæra includere in qua & pyramidem, atq; demonstrare quod diameter sphæræ potentia dupla sit lateris octaedri.

Propositio 15. problema.

Cubum constituere & sphæra ei includere cui & præcedentia, ac demonstrare quod diameter sphæræ potentia sit tripla lateris cubici.

Propositio 16. problema.

Eicosaedron constituere & sphæra includere

λαβεῖν, ἢ καὶ τὰ προειρημένα σχήματα, καὶ δεῖξαι ὅτι ἡ τοῦ εἰκοσαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἐλάττων.

Πρότασις ιζ. πρόβλημα.

Δωδεκάεδρον συστήσασθαι καὶ σφαίρᾳ περιλαβεῖν ᾗ καὶ τὰ προειρημένα σχήματα, καὶ δεῖξαι ὅτι ἡ τοῦ δωδεκαέδρου πλευρὰ ἄλογός ἐστιν ἡ καλουμένη ἀποτομή.

Πρότασις ιη. πρόβλημα.

Τὰς πλευρὰς τῶν πέντε σχημάτων ἐκθέσθαι καὶ συγκρῖναι πρὸς ἀλλήλας.

Τέλος τοῦ ιγ΄ στοιχείου.

dere, cui & præcedētes inclusimus, ac demonstrare quod latus Eicosaedri irrationale sit, quod vocatur minus.

Propositio 17. problema.

Dodecaedron constituere & sphæræ circumdare qua & antecedentes figuras ac demonstrare quod dodecaedri latus irrationale sit quod vocatur residuum.

Propositio 18. problema.

Latera quinq; horum corporum regularium proponere, & inter se conferre.

Finis Libri Decimitertij.

ERRATA.

In titulo libri secundi γραμμικῶς lege γραμμηκῶς. In præfatione libri secundi a. 3. linea 14. cognitionem lege cognationem. In præfatione libri secundi facie altera paginæ a. 4. congenda lege congerenda. Sunt & alia hinc inde errata, quæ certè non poterant omnia obseruari, siquidem non mihi tantum, qui successiuis horis, & quibus ab alijs vacuus videbar mihi esse negotijs, hæc conscripsi: tantum spacij temporis concessum non fuit, vt omnia corrigerē ad amussimq́ iuditij Geometrici examinarem; sed & ipse Typographus suis ijsq́ diuersis distractus negotijs, quæ in Typographia forsan sunt neglecta, in integrum restituere non potuit. Rogamus igitur æquum lectorem, vt πρωτοπείροις venia detur, præsertim cum offeramus operam nostram, quod in δευτέραις φροντίδεσι longè edituri simus correctiora; nec dubitamus hanc nostram

excusa-